**XXIV, 1.** Ἀλλὰ τῇ ὥρᾳ τ. ἀσπ. ἀπῆλθον ($F^a$ ἦλθ.) οἱ ἱερ. cum C$F^a$H, item ut videtur E aliisque; similiter A **Κατὰ δὲ** τὴν ὥραν τ. ἀσπ. etc, D Ἐν δὲ τῇ ὥρᾳ τ. ἀσπ. etc .. BL Pos Καὶ ἀπῆλθον οἱ ἱερεῖς εἰς τὴν ὥραν τ. ἀσπ. | καὶ οὐκ ἀπήντ. αὐτ. κατὰ τ. ἔθος (A om κ. τ. ἔθ.) ἡ εὐλογία τοῦ Ζαχ. (A ἡ εὐχὴ Ζαχ.) cum AB$F^b$HL Pos .. D$F^a$ κ. οὐκ ἀπ. αὐτ. Ζαχαρίας κατὰ τὸ ἔθος (D εἰωθὸς) καὶ ($F^a$ ὡς) ηὐλόγησεν ($F^a$ εὐλογεῖ) αὐτούς .. C κ. οὐκ ἀπ. αὐτ. Ζαχαρίας κατὰ τὸ εἰωθός .. E καὶ αὐτὸς οὐκ ἀπήντ. αὐτοῖς | καὶ ἔστησαν ($F^a$ ἵσταντο) οἱ ἱερ. (E om) .. D om usque τὸν ὕψιστον | προσδοκῶντες ($F^a$ -κοῦντες) τ. Ζαχ. (G om) τοῦ (G om) ἀσπάσασθαι (G ἀσπάσαι) αὐτὸν ($F^a$ αὐτούς. A τοῦ ἀπαντῆσαι αὐτοῖς) ἐν τῇ (E om) εὐχῇ ($F^a F^b$ om ἐ. τ. εὐχ.) cum ACE$F^a F^b$GH .. BL τοῦ (L praem εἰς τὴν ὥραν τοῦ ἀσπασμοῦ) τοῦ ἀσπάσασθαι Ζαχαρίαν, Pos *salutare illum* | καὶ δοξάσαι τὸν ὕψιστ. (C τ. θεόν, A τ. θεὸν τ. ὕψιστ.) cum ABCEHL Pos .. $F^a$ (item $F^b$G?) om

2. $F^a$ Χρονίζοντος | ἐφοβ. ἅπαντες (cum CH; ADEG πάντες; BL Pos om) .. **$F^a$** om | ἀποτολμήσας cum C Eust .. reliqui τολμήσας | δέ .. $F^a$L om | εἷς .. AEH τις .. Eust εἷς τις | εἰσῆλθεν cum BC (item L ut videtur) Pos, item Eust .. ADE$F^a F^b$GH add εἰς τὸ ἅγιασμα ($F^a$ add τοῦ θυσιαστηρίου) | καὶ εἶδε (H **ἴδεν**, A **οἶδε**) **παρὰ** (AE **περὶ**) τὸ θυσιαστ. (A ἁγιαστήριον; G add τοῦ) κυρ.

φωνὴν λέγουσαν Ζαχαρίας πεφόνευται, καὶ οὐκ ἐξαλειφθήσεται τὸ αἷμα αὐτοῦ ἕως ἂν ἔλθῃ ὁ ἔκδικος αὐτοῦ. καὶ ἀκούσας τὸν λόγον ἐφοβήθη, καὶ ἐξῆλθε καὶ ἀνήγγειλε τοῖς ἱερεῦσιν. [3] Καὶ τολμήσαντες εἰσῆλθον καὶ εἶδον τὸ γεγονός, καὶ τὰ φατνώματα τοῦ ναοῦ ὠλόλυξαν, καὶ αὐτοὶ περιεσχίσαντο ἀπὸ ἄνωθεν ἕως κάτω. καὶ τὸ σῶμα αὐτοῦ οὐχ εὗρον, ἀλλ' εὗρον τὸ αἷμα αὐτοῦ λίθον γεγενημένον. καὶ φοβηθέντες ἐξῆλθον καὶ ἀνήγγειλαν

($F^a F^b$ add τό, G τὸ αὐτό. $F^a$ om π. τὸ ϑυσ. κυρ.) αἷμα ($F^a F^b$ add κείμενον καὶ) πεπηγός cum $ACEF^a F^b GH$ .. BL καὶ ἰδοὺ (L add τὸ) αἷμα παρὰ (L πρὸς) τὸ ϑυσιαστ. κυρίου .. Pos om una cum sqq. Statim enim pergit: *et renunciavit sacerdotibus quia Zach. est occisus. Et audientes audentesque ingressi sunt.* | καὶ φωνὴν λέγουσαν cum $AF^b GH$ .. BDEL καὶ φωνὴ λέγουσα, item $CF^a$ κ. ἰδοὺ φωνὴ λέγουσα | ἕως ἂν cum ABDEHL Eust .. $CF^a$ ἕως οὗ | D ἔλϑοι | ὁ ἔκδικος αὐτοῦ (Eust om): $F^a$ ὁ ἐκδικῶν, item D ὁ ἐκδικῶν αὐτός (αὐτόν?) | καὶ ἀκούσας cum $ABDEF^b GHL$ .. $CF^a$ ἀκούσ. δέ | τὸν λόγον cum BHL .. $F^a$ τοῦ λόγου .. AC (item E ut videtur) G τὸν λόγ. τοῦτον .. $F^b$ τοὺς λόγους τούτους | ἐφοβήϑη .. BL add σφόδρα | καὶ ἐξῆλϑε καί ($DF^a$ Eust κ. ἐξελϑών) cum AB $EF^b L$, item $DF^a$ .. C κ. ἐλϑών | AD Eust ἀπήγγειλε | τ. ἱερεῦσιν cum BL (item Eust ut videtur) .. sed ACD [item E?] $F^a GH$ add ἃ (D ταῦτα ἅπερ) εἶδε (A οἶδε, H ἴδεν) καὶ (H add ἃ) ἤκουσεν. De Pos vide supra. Praeterea GH add ἠνέῳξεν (-ξε) δὲ τὰς πύλας τοῦ ναοῦ τοῦ (H om) κυρίου | Eust sic pergit: Ὄρϑρου δὲ οἱ ἱερεῖς παραγενόμενοι εἰς τὸν ναὸν ἐξενίζοντο κατὰ τὸ εἰωϑὸς μὴ ὑπαντήσαντος αὐτοῖς τοῦ ἀρχιερέως, καὶ ἐπέμενον ἔξω. ὥρας οὖν παρελκούσης εἷς τις ἐξ αὐτῶν εἰσελϑεῖν ἀπετόλμησεν. ὁ δὲ ϑεωρεῖ αἷμα πεπηγὸς παρὰ τὸ ϑυσιαστήριον, καὶ ἀκούει φωνῆς λεγούσης Ζαχαρίας πεφόνευται, καὶ οὐκ ἐξαλειφϑήσεται τὸ αἷμα αὐτοῦ ἕως ἂν ἔλϑῃ ὁ ἔκδικος αὐτοῦ. ἀκούων γοῦν ταῦτα ἔμφοβος ἐγένετο, καὶ ἐξελϑὼν τοῖς ἱερεῦσιν ἀπήγγειλεν.

3. Καὶ τολμήσαντες (E ἐτόλμησαν καὶ) εἰσῆλϑ. cum ACE .. BHL ὡς δὲ ἤκουσαν, (L add παραυτίκα) ἐτόλμησαν εἰσελϑεῖν (L καὶ εἰσῆλϑον); similiter Pos (vide supra) .. $DF^a$ καὶ εἰσῆλϑον (D add ἅπαντες). Praeterea D add ἐν τῷ ναῷ, item L ἔνδον τοῦ ϑυσιαστηρίου | AH ἴδον | καὶ τὰ ($F^a$ τά τε, C τὰ δὲ) φατνώμ. (AE παϑνώματα) τοῦ να. ὀλόλυξαν (sic AH aliique ut videtur; $CF^a$ ὠλόλ) cum $ACEF^a F^b H$ .. L Pos καὶ ὀλολύζοντα τὰ φατν. τ. ναοῦ .. D τὰ φατν. τ. ν. πεπηγμένον αὐτοῦ τοῦ αἵματος (?) .. B om | καὶ αὐτοὶ ($F^b$ αὐτοὶ δέ; D om αὐτοί) παριεσχίσαντο ($F^b$ -σχισαν. C διεσχίσαντο τὰ ἱμάτια αὐτῶν) ἀπὸ ἄνωϑ. ἕως κάτω (E ἕ. κάτωϑεν) cum $BCDEF^b HL$ .. $F^a$ αὐτὰ δὲ περιεσχίσαντο ἀπὸ etc, similiterque Pos *et ipsa erant fissa a summo usque deorsum* .. A καὶ οὗτοι ἐϑρήνησαν ϑρῆνον μέγαν | καὶ τὸ (C τὸ δὲ) σῶμα (cum $ACDF^a$ Eust; $BEF^b HL$ πτῶμα) αὐτοῦ (D om) οὐχ εὗρον ($F^b$ οὐχ εὑρέϑη) | ἀλλ' (D εἰ μὴ) εὗρον ($DEF^a$ om, L post αὐτοῦ pon) τὸ αἷμα (A σῶμα) αὐτ. ($F^a$ add μόνον) | λίϑον (cum $ADEF^b GH$; BL praem ὡς, C ὡσεὶ) γεγενημένον (A γεγεννημ., G γενόμενον) .. $F^a$ καὶ γενόμενον ὡσεὶ λίϑος | καὶ φοβηϑέντ. ἐξῆλϑ. καὶ ἀνήγγ. ($AF^b$ ἀπήγγ.) cum $ABEF^b HL$ Pos .. $F^a$ κ. ἀπελϑόντες ἀπήγγ., item C ἐξελϑόντ.

τῷ λαῷ ὅτι Ζαχαρίας πεφόνευται. καὶ ἤκουσαν πᾶσαι αἱ φυλαὶ τοῦ λαοῦ, καὶ ἐπένθησαν αὐτὸν καὶ ἐκόψαντο τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. 4 Μετὰ δὲ τὰς τρεῖς ἡμέρας ἐβουλεύσαντο οἱ ἱερεῖς τίνα ἀντ' αὐτοῦ στήσωσιν, καὶ ἀνέβη ὁ κλῆρος ἐπὶ Συμεῶνα· οὗτος γὰρ ἦν ὁ χρηματισθεὶς ὑπὸ τοῦ ἁγίου πνεύματος, μὴ ἰδεῖν θάνατον ἕως ἂν ἴδῃ τὸν Χριστὸν ἐν σαρκί.

---

δὲ ἀπήγγ. . . D καὶ ἀνήγγειλαν, Q καὶ ἀπήγγειλαν | τῷ λαῷ cum C (item E ut videtur) $F^a$ Pos Eust, item praemisso παντί BHL (D ἅπαντα τὸν λαόν) . . $AF^bQ$ om | BLQ Pos om πᾶσαι | τοῦ λαοῦ cum BCHQ Pos . . $DF^aL$ τοῦ Ἰσραήλ . . AE om | καὶ ἐπένϑησαν αὐτ. κ. ἐκόψαντο (B ἐκόπτοντο, $F^a$ ἔκοψαν; $F^b$ κ. ἐκόψαντο αὐτόν ante κ. ἐπένϑ. α.) cum $BEF^aF^bLQ$ Pos; item CGH (item D ut videtur) omissis κ. ἐκόψαντο . . A καὶ ἐϑρήνησαν | D om τρ. ἡμέρ κ. τρ. νύκτ. . . $BF^aF^b$ om κ. τρ. νύκτ. | Eust pergit: οἱ δὲ εἰσελϑόντες τὸ μὲν σῶμα οὐκ εἶδον, εἰ μὴ τὸ αἷμα, καὶ τὰς στολὰς ἑαυτῶν διαρρήξαντες ἐκόψαντο καὶ τῷ λαῷ ἀνήγγειλαν. καὶ τρία νυχϑήμερα ἐπ' αὐτῷ ϑρῆνον ἐποίησαν.

4. Μετὰ δὲ τ. τρ. ἡμ. cum BEL Pos . . C μετὰ δὲ τ. ἡμέρ. ἐκείνας . . ADH μετὰ δὲ (A καὶ μετὰ) ταῦτα . . $F^a$ nil nisi καί, item Q nil nisi δέ post ἐβουλεύσαντο | D om οἱ ἱερεῖς | τίνα ἀντ' αὐτοῦ (D add ἀρχιερέα) στήσωσιν (B -σουσι, D καταστήσωσιν) cum BDL Pos . . $CF^aH$ τίνα στήσωσιν (C ἀναστήσωσιν, $F^a$ ἀναστήσουσιν) εἰς τὸν τόπον τοῦ (C om) Ζαχαρίου ($F^a$ τόπ. αὐτοῦ) . . AE ἵνα ἀναστήσουσιν (E -σωσιν) ἀντ' αὐτοῦ ἕτερον (E ἀντ. αὐτ. τινὰ εἰς τὸν τόπον τοῦ Ζαχαρίου), item Q ἵνα (corrige τίνα?) ἀναστήσωσιν εἰς τὸν τόπον Ζαχαρίου | καὶ ἀνέβη ($F^b$ ἐπέπεσεν) ὁ κλῆρ. ἐπὶ (B add τὸν) Συμεῶνα (BH -μεών) cum ABDEHL Pos, item $F^b$ ut videtur . . CQ καὶ ἔβαλον κλήρους, καὶ ἔπεσεν ὁ κλ. ἐπὶ Συμεῶνα (Q Συμεών), item $F^a$ καὶ ἔβαλε Συμεὼν καὶ οἱ ἱερεῖς κλήρους αὐτῶν, ἀνέβη ὁ κλ. ἐπὶ Συμεών | οὗτος γὰρ (L δέ, Q om) ἦν cum $BDEF^aHLQ$ Pos; item $F^b$ τούτῳ γὰρ ἦν . . AC αὐτὸς γὰρ ἦν | ὁ χρηματισϑεὶς cum ABHL; item $CF^a$ omisso ὁ . . Q κεχρηματισμένος . . $F^b$ χρηματισμένον | LQ ὑπὸ τ. πνεύμ. τοῦ ἁγ. | μή cum $ABDEF^aHL$ Eust . . CQ τοῦ μή | ἕως ἄν . . D πρὶν ἄν, Q πρίν | τὸν Χρ. (G add κυρίου) ἐν σαρκί cum $ABEF^bGHLQ$ Pos . . $F^a$ τ. Χρ. κυρίου ἐν σαρκὶ ἐληλυϑότα . . C (item ut videtur D) Eust τ. Χρ. κυρίου | Post haec N add (ex Matth. 2, 19 sqq) τελευτήσαντος δὲ τοῦ Ἡρώδου ἰδοὺ ἄγγελος κυρίου φαίνεται κατ' ὄναρ τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ λέγων Ἀναστὰς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ πορεύου εἰς Αἴγυπτον· τεϑνήκασι γὰρ οἱ ζητοῦντες τὸ παιδίον. ὁ δὲ Ἰωσὴφ ἀναστὰς καὶ παραλαβὼν τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ ἦλϑεν εἰς γῆν Ἰσραήλ. ἀκούσας δὲ ὅτι Ἀρχέλαος βασιλεύει ἀντὶ Ἡρώδου τοῦ πατρὸς αὐτοῦ, ἐφοβήϑη ἐκεῖ ἀπελθεῖν· χρηματισϑεὶς δὲ κατ' ὄναρ ἀνεχώρησεν εἰς τὰ μέρη τῆς Γαλιλαίας. καὶ ἐλϑὼν κατῴκησεν εἰς πόλιν λεγομένην Ναζαρέτ· ὅπως πληρωϑῇ τὸ ῥηϑὲν διὰ τῶν προφητῶν ὅτι Ναζαραῖος (?) κληϑήσεται. Eust vero his absolvit historiam: καὶ μετὰ ταῦτα Συμεῶνα εἰς τὴν τάξιν αὐτοῦ κλήρῳ κατέστησαν, ὃς ὑπῆρχεν ὑπὸ τοῦ ἁγίου πνεύματος χρηματισϑεὶς μὴ ἰδεῖν ϑάνατον ἕως ἂν ἴδῃ τὸν Χριστὸν κυρίου.

# XXV.

1 Ἐγὼ δὲ Ἰάκωβος ὁ γράψας τὴν ἱστορίαν ταύτην ἐν Ἱε-
ρουσαλήμ, θορύβου γενομένου, ὅτε ἐτελεύτησεν Ἡρώδης, συνέ-
στειλα ἐμαυτὸν ἐν τῇ ἐρήμῳ ἕως κατέπαυσεν ὁ θόρυβος ἐν Ἱερου-
σαλήμ, δοξάζων τὸν δεσπότην θεὸν τὸν δόντα μοι τὴν δωρεὰν
καὶ τὴν σοφίαν τοῦ γράψαι τὴν ἱστορίαν ταύτην. 2 Ἔσται δὲ
ἡ χάρις μετὰ τῶν φοβουμένων τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν,
ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

XXV, 1. Ἐγὼ δέ cum AC$F^a$LMOP Pos .. N Ἐγὼ οὖν .. BEH Ἐγώ | ὁ γράψας cum AEHLMP; item ὁ συγγραψάμενος BO .. C$F^a$N, item D ut videtur, ἔγραψα | O τὴν ϑαυμαστὴν ταύτην ἱστορίαν | ἐν Ἱερουσαλὴμ ($F^a$P Ἱεροσολύμοις) .. H om | ϑορύβου (cum AB$F^b$GHLMNOP; E$F^a$ add δὲ) γενομένου (O γεγονότος), ὅτε (cum AEGMOP; BHL ὅτι; $F^b$ ἕως οὗ, N ἕως ὅτε. $F^a$ ἕως οὗ ἐτελ. Ἡρώδ. post ἐρήμῳ pon coniungens verbis καὶ κατεπαύϑη etc.) ἐτελεύτ. (G add ὁ) Ἡρώδ. (O ante ἐτελ., GH add πικρῷ ϑανάτῳ. P ὅτε ἀπέστειλεν Ἡρώδης στρατιώτας ἀποκτεῖναι τὰ βρέφη ἐν Βηϑλεέμ), συνέστειλα (cum B$F^a$ $F^b$GHNO; AELM συνέστελλον; P ὑπέστειλα καὶ ἔκρυψα. $F^a$ add ἐγώ, $F^b$ γάρ) ἐμαυτὸν (AE αὐτόν, L ἑαυτόν, M αὐτήν) ἐν τῇ (cum BHLNO; $F^b$G τῷ [?]; AE$F^a$M τόπῳ) ἐρήμῳ (P om ἐ. τ. ἐρ.) ἕως (cum ABE$F^b$GHN; [$F^a$] LMO ἕως οὗ; P ἄχρις οὗ) κατέπαυσεν (cum B$F^b$HNOP; A -παύσατο, E -παύσηται, $F^a$GLM -παύϑη. O add τελείως) ὁ ϑόρ. ἐν (A ἐξ) Ἱερουσαλήμ (cum AE$F^a$ [ἐ. Ἱεροσολύμοις] GHLM Pos; B$F^b$NOP om) cum ABE$F^a$$F^b$GHLMNOP Pos .. CD om | δοξάζων cum BD$F^b$N; item O praemissis καὶ ἤμην et additis καὶ ὑμνῶν, item $F^a$ praemissis τότε λοιπὸν ἤμην; L δοξάζοντός μου δέ .. A δοξάζω, item addito δέ EHM Pos; G -σω δέ .. P χαίρω δὲ καὶ δοξάζω .. C καὶ ἐδόξασα | τ. δεσπότ. ϑεόν cum C$F^b$HN; item AEM omisso ϑεόν .. DG τ. δεσπ. Χριστόν .. B$F^a$LOP Pos τὸν ϑεόν | τὴν δωρεὰν καὶ τὴν σοφ. cum BLO (τὸν τὴν δωρ. κ. σοφ. δεδωκότα μοι) .. GH τ. σύνεσιν κ. τ. σοφίαν .. $F^b$N σοφίαν, EM τὴν σοφίαν, $F^a$ τοιαύτην σοφίαν .. D χάριν, A τὴν χάρ. ταύτην .. P σύνεσιν .. Pos *hoc munus* | τοῦ (G add γνωρίσαι καὶ) γράψ. (O συγγράψαι) τ. ἱστορ. ταύτην (A τήνδε) cum ABDE$F^b$GHLMNOP Pos .. $F^a$ τοῦ γράψ. ἡμῖν (ὑμῖν?) τοῖς πνευματικοῖς καὶ ἀγαπῶσι τὸν ϑεόν. C vero pro τὸν δόντα usque τ. ἱστορ. ταύτην sic: τὸν ἀποκαλύψαντα ἡμῖν τὰ μυστήρια ταῦτα

2. Ἔσται (BOL ἔστω) δὲ (HG καὶ ἔσται) ἡ χάρις (D ἡ χαρὰ) μετὰ (DO add πάντων) τῶν φοβ. τ. κυρ. ἡμῶν Ἰησ. Χριστ. cum BDGHLO Pos; item A εἰς χαρὰν πάντων τῶν φοβ. τ. κυρ. ἡμ. Ἰ. Χρ., item EM καὶ ἔσται χαρὰ μεγάλη πάντων τῶν φοβ. τ. κύριον Ἰ. Χρ. .. $F^b$N ἡ χάρις τοῦ πατρὸς καὶ τοῦ ($F^b$ om) υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ($F^b$ καὶ πνεύμ. ἁγίου) μετὰ πάντ. ὑμῶν (N ἡμῶν) ἀμήν, omissis omnibus iis quae sequuntur .. C$F^a$P om | ᾧ (GO αὐτῷ) ἡ δόξα (cum EGHM; B$F^a$LO add καὶ τὸ κράτος) εἰς τ. αἰῶν. τῶν αἰώνων (H om τῶν αἰών.) ἀμήν cum EGHM, item B$F^a$LO; item D ᾧ ἡ δόξ. καὶ τὸ κράτ., ἡ χάρις καὶ ἡ τιμὴ εἰς τ. αἰ. τ. αἰ. ἀμήν .. A Pos ᾧ ἡ δόξ. καὶ τὸ κράτ. σὺν τῷ πατρὶ

καὶ τῷ παναγίῳ πνεύματι (Pos *cum aeterno patre et bono vivificoque spiritu sancto*) νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰ. τῶν αἰ. ἀμήν . . C ὅτι αὐτῷ πρέπει δόξα κράτος εἰς τοὺς αἰ. τῶν αἰ. ἀμήν . . P ὅτι αὐτῷ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰ. τῶν αἰ. ἀμήν . . de F^b N iam ante relatum est. Q ad finem capitis XXIV., capite extremo omisso, annexa habet μεθ' οὗ τῷ πατρὶ δόξα σὺν τῷ ἀνάρχῳ καὶ παναγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

R caput extremum sic habet: [1] Ἐγὼ Ἰάκωβος ὁ γράψας τὴν ἱστορίαν ταύτην ἐν Ἱερουσαλήμ. θορύβου δὲ γενομένου ἐτελεύτησεν ὁ Ἡρώδης, καὶ συνέστελλον αὐτὸν ἐν τῇ ἐρήμῳ ἕως οὗ μετεπαύθη ὁ θόρυβος ἐν Ἱερουσαλήμ. δοξάζω δὲ τὸν θεὸν τὸν δόντα μοι τὴν δωρεὰν καὶ τὴν σοφίαν γράψαι τὴν ἱστορίαν ταύτην. [2] Ἔστω δὲ ἡ χάρις μετὰ τῶν φοβουμένων αὐτὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

# ΘΩΜΑ ΙΣΡΑΗΛΙΤΟΥ ΦΙΛΟΣΟΦΟΥ ΡΗΤΑ ΕΙΣ ΤΑ ΠΑΙΔΙΚΑ ΤΟΥ ΚΥΡΙΟΥ.

## Caput I.

Ἀναγγέλλω ὑμῖν ἐγὼ Θωμᾶς Ἰσραηλίτης πᾶσι τοῖς ἐξ ἐθνῶν ἀδελφοῖς γνωρίσαι τὰ παιδικὰ καὶ μεγαλεῖα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅσα ἐποίησεν γεννηθεὶς ἐν τῇ χώρᾳ ἡμῶν. οὗ ἡ ἀρχὴ οὕτως.

## Caput II.

[1] Τοῦτο τὸ παιδίον Ἰησοῦς πενταέτης γενόμενος παίζων ἦν ἐν διαβάσει ῥύακος, καὶ τὰ ῥέοντα ὕδατα συνήγαγεν εἰς λάκκους, καὶ ἐποίει αὐτὰ εὐθέως καθαρά, καὶ λόγῳ μόνῳ ἐπέταξεν

---

*) Ita titulus est in Bonon et Dresd, nisi quod Dresd post κυρίου addit ἡμῶν Ἰησοῦ Χριστοῦ.. Par Λόγος εἰς τὰ παιδικὰ καὶ μεγαλεῖα (κ. μεγ. secundis curis deleta videntur) τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.. Vind Παιδικὰ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.. Sinait Σύγγραμμα τοῦ ἁγίου ἀποστόλου Θωμᾶ περὶ τῆς παιδικῆς ἀναστροφῆς τοῦ κυρίου.

I. Ἀναγγέλλω (Dresd et Bonon Ἀναγγέλω) -- οὕτως ex Dresd et Bonon.. Par Ἀναγκαῖον ἡγησάμην ἐγὼ Θωμᾶς ὁ Ἰσραηλίτης πᾶσι τοῖς ἐξ ἐθνῶν ἀδελφοῖς γνωρίσαι τὰ παιδικὰ καὶ μεγαλεῖα τοῦ Χριστοῦ, ὅσα ἐποίησεν ὁ κύριος ἡμῶν καὶ θεὸς Ἰησοῦς Χριστὸς (huc usque Parisiensis lectio similis est Sinaiticae, quam vide infra) γεννηθεὶς ἐν τῇ χώρᾳ ἡμῶν ἐν τῇ Βηθλεέμ, ἐξιστάμενος (huius verbi scriptura Thiloni dubia videbatur; coniecit ab auctore ipso scriptum fuisse ἐξιστῶν [-στὰς] ἡμᾶς)· ὧν ἡ ἀρχή ἐστιν αὕτη.. Vind Ἅπασι τοῖς ἐξ ἐθνῶν γνωρίσαι ἀδελφοῖς τὰ παιδικὰ ὅσα ἐποίησεν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἀναγκαῖον ἡγησάμην ἐγὼ Θωμᾶς ὁ Ἰσραηλίτης -- (reliqua Lambecius ex codice non exscripsit).

II, 1. Τοῦτο τὸ παιδ. Ἰησοῦς (Ἰησοῦς ex auctoritate codicum Parisiensis et Vindobonensis scripsi; Dresd et Bonon habent ὁ Ἰησοῦς) -- ἐπέταξεν αὐτά. Par Τὸ γὰρ παιδίον Ἰησοῦς (adde ἦν?) πενταέτης γενόμενος. βροχῆς δὲ γενομένης, καὶ παυσάσης τῆς βροχῆς ὁ Ἰησοῦς ἔπαιζεν ἐπὶ διοδεύσει τινὸς ῥύακος καὶ τὰ παραρρέοντα ὕδατα συνηγάγετο εἰς λάκκους, μεθ᾽ ἑτέρων παίδων τῶν

αὐτά. [2] Καὶ ποιήσας πηλὸν τρυφερὸν ἔπλασεν ἐξ αὐτοῦ στρουθία ιβ· καὶ ἦν σάββατον ὅτε ταῦτα ἐποίησεν. ἦσαν δὲ καὶ ἄλλα παιδία πολλὰ παίζοντα σὺν αὐτῷ. [3] Ἰδὼν δέ τις Ἰουδαῖος ἃ ἐποίει ὁ Ἰησοῦς ἐν σαββάτῳ παίζων, ἀπῆλθε παραχρῆμα καὶ ἀνήγγειλε τῷ πατρὶ αὐτοῦ Ἰωσήφ Ἰδοὺ τὸ παιδίον σού ἐστιν ἐπὶ τὸ ῥυάκιον, καὶ λαβὼν πηλὸν ἔπλασεν πουλία ιβ, καὶ ἐβεβήλωσεν τὸ σάββατον. [4] Καὶ ἐλθὼν Ἰωσὴφ ἐπὶ τὸν τόπον καὶ ἰδὼν ἀνέκραξεν αὐτῷ λέγων Διὰ τί ταῦτα ποιεῖς ἐν σαββάτῳ ἃ οὐκ ἔξεστι ποιεῖν; ὁ δὲ Ἰησοῦς συγκροτήσας τὰς χεῖρας αὐτοῦ ἀνέκραξε τοῖς στρουθίοις καὶ εἶπεν αὐτοῖς Ὑπάγετε. καὶ πετασθέντα τὰ στρουθία ὑπῆγον κράζοντα. [5] Ἰδόντες δὲ οἱ Ἰουδαῖοι ἐθαμβήθησαν, καὶ ἀπελθόντες διηγήσαντο τοῖς πρώτοις αὐτῶν ὅπερ εἶδον πεποιηκότα τὸν Ἰησοῦν.

---

Ἑβραίων. καὶ αὐτὰ τὰ ὕδατα παραχρῆμα ἐγένοντο καθαρὰ καὶ ἐνάρετα· λόγῳ δὲ μόνῳ ἐπάταξεν (corrigendum est ἐπέταξεν) αὐτά, καὶ πάντως ὑπετάσσοντο αὐτῷ . . Vind Τὸ παιδίον Ἰησοῦς πενταέτης γενόμενος, καὶ βροχῆς γενομένης ἔπαιζεν ἐπὶ διάβασιν ῥύακος, καὶ τὰ ῥέοντα ὕδατα ῥυπαρὰ ὄντα συνήγαγεν εἰς λάκκους, καὶ ἐποίει αὐτὰ καθαρὰ εὐθέως καὶ ἐνάρετα εἶναι, λόγῳ δὲ μόνῳ καὶ οὐκ ἔργῳ ἐπιτάξας αὐτοῖς.

2. Καὶ π. πηλὸν τρυφερὸν (et Dresd et Bonon πυλὸν τριφερόν) - - ὅτε (Bonon ὅτι) - - σὺν αὐτῷ . . Par Ἐπάραντος δὲ ἐκ τῆς χείλεως (sic) αὐτῶν πηλὸν τρυφερόν, ἔπλασεν ἐξ αὐτοῦ στρουθία τὸν ἀριθμὸν ιβ. ἦσαν οὖν καὶ τὰ παιδία παίζοντα σὺν αὐτῷ . . Vind Εἶτα ἄρας ἐκ τῆς ὕλεως πηλὸν τρυφερὸν ἔπλασεν ἐξ αὐτοῦ στρουθία δώδεκα· ἦν δὲ σάββατον ὅτε ταῦτα ἐποίησεν παίζων. καὶ πολλὰ παιδία etc (praeter haec Lambecius nihil exscripsit).

3. Ἰδὼν δέ - - ἐν σαββ. παίζων (delevi ὅτι quod Dresd et Bonon ante ἐν habent; cf. Par, in quo recte deest) - - ῥυάκιον (Dresd et Bonon ῥήακον. Cf. cod. Sinait. in quo est περὶ τὸ ῥυάκιν) - - τὸ σάββατον . . Par Ἰδὼν δέ τις Ἰουδαῖος ἃ ἐποίησεν Ἰησοῦς ἐν σαββάτῳ πλάττων τὸν πηλόν, ἀπῆλθεν εὐθέως καὶ ἀπήγγειλε τῷ πατρὶ αὐτοῦ Ἰωσὴφ λέγων Ἰδοὺ τὸ παιδίον σου παῖζον ἐπὶ τοὺς ῥύακας (cum prioribus ἐπὶ διοδεύσει τινὸς ῥύακος magis convenire videtur ἐπὶ τοῦ ῥύακος), καὶ ἦρε πηλὸν καὶ ἔπλασεν ἐξ αὐτοῦ στρουθία ιβ, καὶ βεβηλοῖ τὸ σάββατον.

4. Καὶ ἐλθὼν (ita Dresd; Bonon add ὁ) Ἰωσήφ - - ἐν σαββάτῳ (ita Dresd; Bonon ἐν σάββατον) - - ὑπῆγον κράζοντα (et Dresd et Bonon ἤπηγον κράζων) . . Par Καὶ ἐλθὼν ὁ Ἰωσὴφ ἐπὶ τὸν τόπον καὶ ἰδὼν ἀνέκραξεν αὐτὸν (sic) λέγων Διὰ τί ταῦτα ποιεῖς ἐν σαββάτῳ, ὃ (sic) οὐκ ἔξεστι ποιεῖν; ὁ δὲ Ἰησοῦς συγκροτήσας τὰς παλάμας αὐτοῦ ἀνέκραξε τοῖς στρουθίοις καὶ εἶπεν αὐτοῖς Ὑπάγετε πετάσθητε καὶ μέμνησθέ μου ζῶντες (cf. ad haec Sinaiticum textum). καὶ πετασθέντων τῶν στρουθίων ἐξῆλθον κράζοντα.

5. Ἰδόντες - - διηγήσαντο (διήγησαν ex Bononiensi editum ex errore Mingarellii esse videtur) - - εἶδον (et Dresd et Bonon οἶδον, quod εἶδον et ἴδον pari iure corrigi potest) - - τ. Ἰησοῦν . . Par Ἰδόντες δὲ οἱ Ἰουδαῖοι ἐθαμβήθησαν,

## Caput III.

[1] Ὁ δὲ υἱὸς Ἄννα τοῦ γραμματέως ἦν ἑστὼς ἐκεῖ μετὰ τοῦ Ἰωσήφ, καὶ λαβὼν κλάδον ἰτέας ἐξέχεε τὰ ὕδατα ἃ συνήγαγεν ὁ Ἰησοῦς. [2] Ἰδὼν δὲ ὁ Ἰησοῦς τὸ γινόμενον ἠγανάκτησε, καὶ εἶπε πρὸς αὐτόν Ἄδικε, ἀσεβὴ καὶ ἀνόητε, τί ἠδίκησάν σε οἱ λάκκοι καὶ τὰ ὕδατα; ἰδοὺ νῦν καὶ σὺ ὡς δένδρον ἀποξηρανθῇς, καὶ οὐ μὴ ἐνέγκῃς φύλλα οὔτε ῥίζαν οὔτε καρπόν. [3] Καὶ εὐθέως ὁ παῖς ἐκεῖνος ἐξηράνθη ὅλος. ὁ δὲ Ἰησοῦς ἀνεχώρησε καὶ ἀπῆλθεν εἰς τὸν οἶκον Ἰωσήφ. οἱ δὲ γονεῖς τοῦ ξηρανθέντος ἐβάστασαν αὐτὸν θρηνοῦντες τὴν νεότηταν αὐτοῦ, καὶ ἤγαγον πρὸς τὸν Ἰωσήφ, καὶ ἐνεκάλουν αὐτὸν ὅτι τοιοῦτον ἔχεις παιδίον ἐργαζόμενον τοιαῦτα.

## Caput IV.

[1] Εἶτα πάλιν ἐπορεύετο διὰ τῆς κώμης, καὶ παιδίον τρέχων διερράγη εἰς τὸν ὦμον αὐτοῦ. καὶ πικρανθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῷ Οὐκ ἀπελεύσει τὴν ὁδόν σου. καὶ παραχρῆμα πεσὼν ἀπέ-

---

καὶ ἀπελθόντες διηγήσαντο τοῖς πρώτοις αὐτῶν ὅπερ ἴδον σημεῖον, πεποιηκὼς ὁ Ἰησοῦς.

III, 1. Ὁ δὲ υἱὸς Ἀ. τοῦ γραμματέως (τοῦ γραμμ. ex Par et Sinait; Dresd et Bonon γραμματεύς sine τοῦ) ἦν (ita Par; Dresd et Bonon ὤν) ἑστὼς -- συνήγ. ὁ Ἰησοῦς .. Par Ὁ δὲ υἱ. Ἄννα τοῦ γραμματέως ἦν ἑστὼς ἐκεῖ μετὰ Ἰωσήφ, καὶ λαβὼν κλάδον ἰτέας -- συνήγ. ὁ Ἰησοῦς.

2. Ἰδὼν δέ -- ἀσεβὴ (ita cum Dresd et Bonon [ἀσεβεῖ] etiam Sinait) καὶ -- ἰδοὺ (Dresd add καὶ) -- οὔτε καρπόν .. Par Ἰδὼν δὲ τὸ παιδίον Ἰησοῦς τὸ γενόμενον ὑπ' αὐτοῦ ἠγανάκτησε, καὶ εἶπεν αὐτῷ Ἀνόητε, τί ἠδίκησάν σε οἱ λάκκοι καὶ ἐξέχεας τὰ ὕδατα; ἰδοὺ νῦν καὶ σὺ -- φύλλα οὔτε κλάδους οὔτε καρπόν.

3. Καὶ εὐθέως -- νεότηταν (ita codices) -- ἐνεκάλουν (et Dresd et Bonon ἐνεγκάλουν, item Par. Cf. infra Sinaitici textus cap. IV, 2.) -- τοιαῦτα .. Par Καὶ εὐθέως ἐξηράνθη ὅλος. ὁ δὲ Ἰησοῦς ἀνεχώρησε καὶ ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. οἱ δὲ γονεῖς τοῦ ξηρανθέντος ἐβάστασαν φέροντες αὐτὸν θρηνοῦντες τὴν νεότητα αὐτοῦ, καὶ ἤγοντο πρὸς τὸν Ἰωσήφ, καὶ ἐνεγκάλουν αὐτὸν ὅτι τοιοῦτον ἔχεις παιδίον ἐργαζόμενον τοιαῦτα (vertit haec cum Cotelerio Fabricius -- *ad Iosephum quem incusabant Cur eiusmodi habes puerum talia operantem?*). Praeterea vero Par addita habet haec: Εἶτα ὁ Ἰησοῦς παρακληθεὶς παρὰ πάντων ἰάτρευσεν αὐτόν, ἑάσαντός τι μέλος (codex addit τινά. Ionesius pro eo reponendum duxit εἶναι.) ἀργὸν ὀλίγον, εἰς τὸ προσέχειν αὐτούς.

IV, 1. Εἶτα πάλιν -- τρέχων (sic et Dresd et Bonon) -- διερράγη (Dresd -γει, Bonon διεράγει) -- ἀπελεύσει (ita et Dresd et Bonon) -- πεσὼν (sic

θανεν. ἰδόντες δέ τινες τὸ γινόμενον εἶπον Πόθεν τοῦτο τὸ παιδίον ἐγεννήθη, ὅτι πᾶν ῥῆμα αὐτοῦ ἔργον ἐστὶν ἕτοιμον; [2] Καὶ προσελθόντες οἱ γονεῖς τοῦ τεθνεῶτος τῷ Ἰωσὴφ κατεμέμφοντο λέγοντες Σὺ τοιοῦτον παιδίον ἔχων οὐ δύνασαι μεθ' ἡμῶν οἰκεῖν ἐν τῇ κώμῃ, ἢ δίδασκε αὐτῷ εὐλογεῖν καὶ μὴ καταρᾶσθαι· τὰ γὰρ παιδία ἡμῶν θανατοῖ.

## Caput V.

[1] Καὶ προσκαλεσάμενος ὁ Ἰωσὴφ τὸ παιδίον κατ' ἰδίαν ἐνουθέτει αὐτὸν λέγων Ἵνα τί τοιαῦτα κατεργάζει, καὶ πάσχουσιν οὗτοι καὶ μισοῦσιν ἡμᾶς καὶ διώκουσιν; εἶπε δὲ ὁ Ἰησοῦς Ἐγὼ οἶδα ὅτι τὰ ῥήματά σου ταῦτα οὐκ εἰσὶν σά, ὅμως σιγήσω διὰ σέ· ἐκεῖνοι δὲ οἴσουσιν τὴν κόλασιν αὐτῶν. καὶ εὐθέως οἱ ἐγκαλοῦντες αὐτὸν ἀπετυφλώθησαν. [2] Καὶ οἱ ἰδόντες ἐφοβήθησαν σφόδρα καὶ ἠπόρουν, καὶ ἔλεγον περὶ αὐτοῦ ὅτι πᾶν ῥῆμα ὃ ἐλάλει, εἴτε καλὸν εἴτε κακόν, ἔργον ἦν καὶ θαῦμα ἐγένετο. ἰδόντες δὲ ὅτι τοιοῦτον ἐποίησεν ὁ Ἰησοῦς, ἐγερθεὶς ὁ Ἰωσὴφ ἐπέλαβεν αὐτοῦ τὸ ὠτίον καὶ ἔτιλεν σφόδρα. [3] Τὸ δὲ παιδίον

---

uterque) -- ἕτοιμον .. Par Πάλιν οὖν ὁ Ἰησοῦς ἐπορεύετο διὰ τῆς κώμης, καὶ παιδίον τρέχον διερράγη εἰς τὸν ὦμον αὐτοῦ. καὶ πικρανθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῷ Οὐκ ἀπελεύσῃ τὴν ὁδόν σου. καὶ παραχρ. πεσὼν ἀπέθανεν. ἰδόντες -- ἐστὶν ἕτοιμον;

2. **Καὶ προσελθόντες -- κατεμέμφοντο (ex Par est; in Dresd et Bonon desideratur.** Cf. etiam Sinaiticum, in quo est ἐγκάλουν) λέγοντες -- παιδίον ἔχων (ita rursus Par; Dresd παιδ. ἔχεις) οὐ -- αὐτῷ (ita Dresd; Bonon αὐτόν) εὐλογεῖν -- θανατοῖ (Dresd et Bonon -τεῖ); Par Καὶ προσελθόντες -- κατεμέμφοντο λέγοντες Σὺ τοῦτο τὸ παιδίον ἔχων οὐ δύνασαι -- ἐν τῇ πόλει ἡμῶν· ἢ δίδασκε τὸ παιδίον σου αὐτῷ (Ionesius correxit αὐτός. Rectius Thiloni τὸ παιδ. σου additamentum librarii videbatur; sed cf. textum Sinaiticum) εὐλογεῖν καὶ μὴ καταρᾶσθαι, ἢ ἔξελθε σὺν αὐτῷ τῶν ὧδε· τὰ γὰρ -- θανατοῖ.

**V, 1.** Καὶ προσκαλεσάμενος -- κατεργάζει (sic uterque codex) -- ταῦτα οὐκ εἰσὶ σά (ita ex Par scripsi; Dresd et Bonon post ταῦτα pergunt ἐμὰ οὐκ εἰσὶν ἀλλὰ σά, quemadmodum etiam in evangelio nostro Thomae latino legitur; cf. infra V, 2.) -- ἀπετυφλώθησαν (sic uterque codex; per errorem igitur Thilo edidit ἐτυφλώθησαν) .. Par Προσκαλεσάμενος δὲ ὁ Ἰωσὴφ τὸ παιδίον κατ' ἰδίαν ἐνουθέτει αὐτὸ λέγων Ἵνα τί -- πάσχουσιν οὕτως, καὶ μισοῦσιν -- εἶπεν δὲ ὁ Ἰησοῦς Ἐγὼ οἶδα ὅτι τὰ ῥήμ. σου ταῦτα οὐκ εἰσὶν σά, ἀλλὰ διὰ σὲ σιγήσω· ἐκεῖνοι δὲ οἱ εἰρηκότες σοι ταῦτα οἴσουσι τὴν κόλασιν τὴν αἰώνιον. καὶ εὐθ. οἱ ἐγκ. αὐτὸν ἐτυφλώθησαν.

2. **Καὶ οἱ** (ex Par est; in Dresd et Bonon desideratur) ἰδόντες -- ἐγερθεὶς **ὁ Ἰωσὴφ** (ὁ Ἰωσ. rursus ex Par addidimus) -- σφόδρα .. Par Καὶ οἱ ἰδόντες

ἠγανάκτησε καὶ εἶπεν αὐτῷ Ἀρκετόν σοί ἐστιν ζητεῖν καὶ μὴ εὑρίσκειν, καὶ μάλιστα οὐ σοφῶς ἔπραξας· οὐκ οἶδας ὅτι σός; μή με λύπει.

## CAPUT VI.

[1] Καθηγητὴς δέ τις ὀνόματι Ζακχαῖος ἑστὼς ἐν μέρει τινὶ
ἤκουσε τοῦ Ἰησοῦ ταῦτα λαλοῦντος τῷ πατρὶ αὐτοῦ, καὶ ἐθαύ-
μασεν σφοδρῶς ὅτι παιδίον ὢν τοιαῦτα φθέγγεται. [2] Καὶ μετ'
ὀλίγας ἡμέρας προσήγγισεν τῷ Ἰωσὴφ καὶ εἶπεν αὐτῷ ὅτι παι-
δίον φρόνιμον ἔχεις, καὶ νοῦν ἔχει· δεῦρο παράδος μοι αὐτὸ ὅπως
μάθῃ γράμματα, καὶ ἐγὼ διδάξω αὐτὸ μετὰ τῶν γραμμάτων
πᾶσαν ἐπιστήμην καὶ προσαγορεύειν πάντας τοὺς πρεσβυτέρους
καὶ τιμᾶν αὐτοὺς ὡς προπάτορας καὶ πατέρας καὶ τοῦ ἀγαπᾶν
συνηλικιώτας. [3] Καὶ εἶπεν αὐτῷ πάντα τὰ γράμματα ἀπὸ τοῦ
ᾱ ἕως τοῦ ω̄ μετὰ πολλῆς ἐξετάσεως τρανῶς. ἐμβλέψας δὲ τῷ
καθηγητῇ Ζακχαίῳ λέγει αὐτῷ Σὺ τὸ ἄλφα μὴ εἰδὼς κατὰ
φύσιν, τὸ βῆτα πῶς ἄλλους διδάσκεις; ὑποκριτά, πρῶτον εἰ
οἶδας δίδαξον τὸ ᾱ, καὶ τότε σοι πιστεύσομεν περὶ τοῦ β̄. εἶτα
ἤρξατο ἀποστομίζειν τὸν διδάσκαλον περὶ τοῦ πρώτου γράμμα-
τος, καὶ οὐκ ἴσχυσεν αὐτῷ ἀνταποκριθῆναι. [4] Ἀκουόντων δὲ

---

ἐφοβήθησαν πάντες σφόδρα καὶ ἠπόρουν, καὶ ἔλεγον περὶ αὐτοῦ ὅτι πᾶν ῥῆμα ὃ λέγει, εἴτε καλὸν εἴτε κακόν, ἔργον γίνεται, καὶ ἐθαύμαζον. εἰδόντες δὲ ὅτι τοῦτο ἐποίησεν ὁ Ἰησοῦς, ἐγερθεὶς ὁ Ἰωσὴφ ἐπελάβετο αὐτοῦ τὸ ὠτίον καὶ ἔτιλεν αὐτό.

3. Τὸ δὲ παιδίον - - καὶ μάλιστα οὐ σοφῶς (ita ex Par scripsimus; Dresd et Bonon post εὑρίσκειν pergunt μάλιστα ὅτι σοφῶς) - - μή με λύπει (Dresd et Bonon ad haec addunt σὸς γάρ εἰμι, quae cum Parisiensi omisimus) . . Par Τὸ δὲ παιδίον - - καὶ μὴ εὑρίσκειν αὐτούς (Thiloni sunt caeci illi facti quaerentes Iosephum), καὶ μάλιστα οὐ σοφῶς ἔπραξας. οὐκ οἶδας ὅτι σός εἰμι; μή με λύπει.

VI, 1. Καθηγητὴς - - ἐν μέρει τινὶ (τινί ex Par est; Dresd et Bonon non habent) ἤκ. τοῦ Ἰησ. τ. λαλοῦντος (Dresd et Bonon vitiose τῷ Ἰησοῦ ταῦτα λαλοῦντα) - - φθέγγεται . . Par Καθηγητὴς - - ἤκουσε τοῦ Ἰησοῦ ταῦτα λαλοῦντος τοῦ πατρὸς αὐτοῦ, καὶ ἐθαύμασε σφόδρα ὅτι παιδίον ὂν τοιαῦτα φθ.

2. Καὶ μετ' - - εἶπεν αὐτῷ: consentit Par | ὅτι παιδ. φρόν. ἔχεις κ. ν. ἔχει: ita Par; Bonon et Dresd ὅτι (Dresd ἔτι) νοῦν ἔχει (Dresd νουνεχεῖ, Bonon νοῦν ἐχεῖ), καὶ φρόνιμον ἔχεις παιδίον | δεῦρο (Par add οὖν) - - μάθῃ (ita Par; Dresd et Bonon μάθω) γράμματα | καὶ ἐγὼ διδάξω - - καὶ προσαγορεύειν (ita Dresd; Bonon -ρεύει) - - καὶ τιμᾶν αὐτ. ὡς προπάτ. usque συνηλικιώτας (ita Dresd; Bonon a verbis καὶ τιμᾶν αὐτούς transilit ad συνηλικιώτας, omissis mediis)· horum nihil in Parisiensi legitur.

3. Καὶ εἶπεν αὐτῷ πάντα - - πιστεύσομεν (Bonon -σωμεν) - - ἀνταποκρι-

πολλῶν λέγει τὸ παιδίον τῷ Ζακχαίῳ Ἄκουε, διδάσκαλε, τὴν τοῦ πρώτου στοιχείου τάξιν, καὶ πρόσχες ὧδε πῶς ἔχει κανόνας, καὶ μεσαχαρακτῆρα οὓς ὁρᾷς ξυνοὺς διαβαίνοντα, συναγομένους, ὕψους μὲν αὐτοὺς πορεύοντος πάλιν δὲ κεφαλαιοῦντος, τρισήμους ὁμογενεῖς, ὑπάρχους δὲ καὶ ὑποστάτους, ἰσομέτρους· κανόνας ἔχεις τοῦ ᾱ.

---

θῆναι: ab his satis differt Parisiensis codex, qui sic habet Καθίσαντος δὲ αὐτοῦ τοῦ διδάξαι γράμματα τῷ Ἰησοῦ, ἤρξατο τὸ πρῶτον στοιχεῖον τὸ ἄλεφ. ὁ δὲ Ἰησοῦς λέγει τὸ δεύτερον στοιχεῖον μπέθ, γκίμελ, καὶ εἶπεν αὐτῷ πάντα τὰ στοιχεῖα ἕως τέλους. καὶ ἀναπτύξας βιβλίον, τοὺς προφήτας ἐδίδασκε τὸν καθηγητήν.

4. Horum nihil simile in Parisiensi invenitur. Codicum autem Dresdensis et Bononiensis textus inde a verbis πῶς ἔχει κανόνας usque ad sectionis finem perquam corruptus est. Scriptum enim ibi sic est: πῶς ἔχει κανόνας καὶ μέσα χαρακτῆρας, οὓς ὅρα ξύνους, διαβαίνοντας, συναγομένους, ὑψουμένους, χορεύοντας, βαλεφεγιοῦντας (Bonon βάλε φεγ.), τρισήμους, ὁμογενεῖς, ὑπαρπουχθέν (Bonon -χθέ) ζυγοστάτους, ἰσομέτρους· κανόνας ἔχει τὸ ᾱ. Haec Mingarellius, libri auctorem in littera A symbolum dei eiusque trini agnovisse existimans, in hunc fere modum emendanda censuit: πῶς ἔχει κανόνας καὶ μεσοχαρακτῆρας· οὓς ὅρα ξυνούς, διαβαίνοντας, συναγομένους, ὑψουμένους, χορεύοντας· λάβε περιόντας, τρισήμους, ὁμογενεῖς, ὑπάρχους τε· ζυγοστάτους, ἰσομέτρους· κανόνας ἔχεις τοῦ ᾱ, hac interpretatione addita *Audi, magister, positionem primi elementi, et attende quomodo habeat canones seu lineas, et dimidios characteres: quos inspice communes, permeantes, congregatos, surgentes, saltantes: accipe eos qui supersunt, trilineos, homogeneos, et veluti principatum tenentes, ad libellam positos et aequalis mensurae: canones seu lineas habes litterae A.* Ipse tamen Mingarellius coniecturis se suis diffidere non dissimulavit: notas enim illas litterae A nec in Graecorum Alpha nec in Hebraeorum Aleph quadrare. Multo quidem magis eas quadrare in primam Armenorum litteram, probare sibi visus est iis quae Chardinus in Itinere persico X, pag. 26. (ed. Langlès 1811. tom. IX. pag. 124.) de legendis Christianorum Persiae docuit. Ibi enim refertur ex evangelio quodam infantiae persico „*qu'étant envoyé à l'école pour apprendre l'abc, le maitre lui voulant faire dire a, il s'arrêta et dit au maitre Apprenez-moi auparavant pourquoi la première lettre de l'alphabet est ainsi faite. Surquoi le maitre le traitant de petit babillard, il répondit Je ne dirai point a, que vous ne me disiez pourquoi la première lettre est ainsi faite. Le maitre se mettant en colère, Jésus lui dit Je vous l'apprendrai donc moi. La première lettre de l'alphabet est formée de trois lignes perpendiculaires sur une ligne diametrale (l'a arménien est ainsi fait à peu près comme une m renversée), pour nous apprendre que le commencement de toutes choses est une essence en trois personnes.*" Quibus Mingarellii de loco nostro coniecturis „minime locum restitutum et illustratum" censuit Thilo. *Ut enim*, ait Cod. apocr. I. p. 292., *taceamus coniecturas illas* λάβε περιόντας *et* ὑπάρχους τε *prorsus improbabiles, latina quam Mingarellius dedit interpretatio constat verbis sine sensu, quorum plura graecis ne respondent quidem. Neque hoc auctor ipse innuit se figuram primae litterae referre ad illud trinitatis emblema; quod tamen sumi potest si ab inepto monacho illa verba assuta esse statuas. Nam Marcosiorum*

## Caput VII.

1 Ὡς δὲ ἤκουσεν ὁ διδάσκαλος Ζακχαῖος τὰς τοσαύτας καὶ τοιαύτας ἀλληγορίας τοῦ πρώτου γράμματος εἰρηκότος τοῦ παιδός, ἠπόρησεν ἐπὶ τοσαύτην ἀπολογίαν καὶ διδασκαλίαν αὐτοῦ, καὶ εἶπεν τοῖς παροῦσιν Οἴμοι, ἠπορήθην ὁ τάλας ἐγώ, ἐμαυτῷ αἰσχύνην παρέχων ἐπισπασάμενος τὸ παιδίον τοῦτο.
2 Ἆρον οὖν αὐτό, παρακαλῶ σε, ἀδελφὲ Ἰωσήφ· οὐ φέρω τὸ αὐστηρὸν τοῦ βλέμματος αὐτοῦ, οὐ τρανῶ τὸν λόγον ἅπαξ. τοῦτο τὸ παιδίον γηγενὴς οὐκ ἔστι, τοῦτο δύναται καὶ πῦρ δαμάσαι· τάχα τοῦτο πρὸ τῆς κοσμοποιίας ἐστὶν γεγεννημένον. ποία γαστὴρ τοῦτο ἐβάστασεν, ποία δὲ μήτρα τοῦτο ἐξέθρεψεν, ἐγὼ ἀγνοῶ. οἴμοι, φίλε, ἐξηχεῖ με, οὐ παρακολουθήσω τῇ διανοίᾳ αὐτοῦ· ἠπάτησα ἑαυτόν, ὁ τρισάθλιος ἐγώ· ἠγωνιζόμην

---

*de pueritia Christi libellus referente* Irenaeo *adv. haeres. I, 20. haec tantum continuit* προσπαραλαμβάνουσι δὲ εἰς τοῦτο κἀκεῖνο τὸ ῥᾳδιούργημα, ὡς τοῦ κυρίου παιδὸς ὄντος καὶ γράμματα μανθάνοντος, καὶ τοῦ διδασκάλου αὐτῷ φήσαντος, καθὼς ἔθος ἐστίν, Εἰπὲ ἄλφα, ἀποκρίνασθαι τὸ ἄλφα· πάλιν τε τὸ βῆτα τοῦ διδασκάλου κελεύσαντος εἰπεῖν, ἀποκρίνασθαι τὸν κύριον Σύ μοι πρότερον εἰπὲ τί ἐστι τὸ ἄλφα, καὶ τότε σοι ἐρῶ τί ἐστι τὸ βῆτα. καὶ τοῦτο ἐξηγοῦνται ὡς αὐτοῦ μόνου τὸ ἄγνωστον ἐπισταμένου, ὃ ἐφανέρωσεν ἐν τῷ τύπῳ τοῦ ἄλφα. Praeterea Thilo significavit pro οὓς ὅρα legi posse οὓς ὁρᾷς, item ξυντούς pro ξυνούς, ὑπαρπαχθέντας vel ὑφαρπαχθέντας pro ὑπαρπουχθέν, φεγγοβολοῦντας pro βαλεφεγιοῦντας (cf. Cod. apocr. I. pag. CXIII.), denique τούτους addi posse ante κανόνας ἔχει τὸ ᾱ. Nuperrime vero ab eadem cum Mingarellio sententia de trinitatis symbolo profectus emendationem loci suscepit vir doctissimus Rud. Hofmannus, qui in libro quem inscripsit Das Leben Jesu nach den Apokryphen, pag. 222. hunc textum proposuit πῶς ἔχει κανόνας καὶ μεσαχαρακτῆρα, οὓς ὁρᾷς ξυνούς, διαβαίνοντα· συναγομένους, ὕψους μὲν πορεύοντος, κεφαλαιοῦντος, τρισήμους, ὁμογενεῖς ὑπάρχους δέ, ὑποστάτους, ἰσομέτρους· κανόνας ἔχεις τοῦ Α. Qua ab emendatione non graviter differt quam ipsi proposuimus et in textum recepimus. Habet autem haec coniiciendi licentia in loco tam corrupto non minimam excusationem inde quod uti non licet nisi codicibus recentissimis.

VII, 1. ἠπόρησεν: Dresd ἠπώρησεν | αἰσχύνην: uterque codex αἰσχύνης, statimque post ἐπισπασμένος.

2. οὐ τρανῶ: Mingarellius corrigi voluit οὗ vel περὶ οὗ τρανῶ (*de quo semel dicam quid sentiam*). Contra Thilo notavit ex latino evangelio infantiae Parisiensi, in quo est *nec audire gravitatem sermonum eius*, potius reponi posse οὐδὲ τρανόν. Sed omnino emendatione non opus esse videtur. | ἐξηχεῖ: Thilo ex utroque codice edidit ἐξήχει. Hofmannus maluit ἐξήγει. | παρακολουθήσω: ita Dresd ex emendatione; a prima fuerat παρακολουθήσομαι | ἑαυτόν: ita ex Dresd et Bonon, nec corrigendum duxi. Thilo dedit ἐμαυτόν.

ἔχειν μαθητήν, καὶ εὑρέθην ἔχειν διδάσκαλον. [3] Ἐνθυμοῦμαι, φίλοι, τὴν αἰσχύνην, ὅτι γέρων ὑπάρχων ὑπὸ παιδίου ἐνικήθην. καὶ ἔχω ἐκκακῆσαι καὶ ἀποθανεῖν διὰ τούτου τοῦ παιδός· οὐ δύναμαι γὰρ ἐν τῇ ὥρᾳ ταύτῃ ἐμβλέψαι εἰς τὴν ὄψιν αὐτοῦ. καὶ πάντων εἰπόντων ὅτι ἐνικήθην ὑπὸ παιδίου μικροῦ, τί ἔχω εἰπεῖν; καὶ τί διηγήσασθαι περὶ ὧν μοι εἶπε κανόνων τοῦ πρώτου στοιχείου; ἀγνοῶ, ὦ φίλοι· οὐ γὰρ ἀρχὴν καὶ τέλος αὐτοῦ γινώσκω. [4] Τοιγαροῦν ἀξιῶ σε, ἀδελφὲ Ἰωσήφ, ἀπάγαγε αὐτὸν εἰς τὸν οἶκόν σου. οὗτος τί ποτε μέγα ἐστίν, ἢ θεὸς ἢ ἄγγελος, ἢ τί εἴπω οὐκ οἶδα.

## Caput VIII.

[1] Τῶν δὲ Ἰουδαίων παραινούντων τῷ Ζακχαίῳ, ἐγέλασε τὸ παιδίον μέγα καὶ εἶπεν Νῦν καρποφορείτωσαν τὰ σά, καὶ βλεπέτωσαν οἱ τυφλοὶ τῇ καρδίᾳ. ἐγὼ ἄνωθεν πάρειμι ἵνα αὐτοὺς καταράσομαι καὶ εἰς τὰ ἄνω καλέσω, καθὼς διετάξατο ὁ

---

3. γέρων ὑπάρχων: in codicibus scripta est γερ. ὑπάρχει, unde Thiloni ὅς ante γέρων supplendum videbatur. Sed ἐνικήθην in codice extremam syllabam compendio scriptam habet, quod non solvi debet θη. Eo magis edendum ita videbatur ut edidimus. | διὰ τούτου τοῦ παιδός: Bonon διὰ τοῦτο τοῦ παιδός | ἐμβλέψαι: ita Dresd; Bonon βλέψαι | εἰπόντων: Dresd ὑπόντων | στοιχείου: Dresd et hoc et aliis locis στοιχίου etc | αὐτοῦ γινώσκω: uterque codex αὐτοῦ οὐ γιν.

4. οὗτος: in Dresd scriptum est nisi fallor τοῦτος. Hinc malui edere οὗτος quam τοῦτο, quod apud Mingar. et Thil. legitur.

Ceterum huic capiti respondent verba ea quibus in codice Parisiensi ista historia finitur. Praegressis enim illis καὶ ἀναπτύξας - - ἐδίδασκε τὸν καθηγητήν leguntur ibi haec Αὐτὸς δὲ αἰσχυνθεὶς ἠπόρησεν, ὅτι οὐκ οἶδε πόθεν αὐτὸς οἶδε τὰ γράμματα. καὶ ἐγερθεὶς ἀνεχώρησεν οἴκαδε, θαυμάζων ἐξιστάμενος τὸ παράδοξον. Denique additur in Parisiensi codice fragmentum historiae de pannis a puero tinctis, quam evangelium infantiae arabicum capite XXXVII. tradit, graeci vero codices nostri reliqui non exhibent. Quod fragmentum sic habet:

(VIII.) Πορευομένου δὲ τοῦ Ἰησοῦ εἶδέ τι (codex τινα) ἐργαστήριον καί τινα νεανίσκον βάπτων (sic) εἰς λέβητας ἱμάτια καὶ τζόχας τινὰς διαφόρους φαιάς, τὸ καθ' ἕκαστον ἐκτελῶν κατὰ τὴν τοῦ ἑνὸς ἑκάστου βούλησιν. εἰσελθὼν οὖν τὸ παιδίον Ἰησοῦς [adde ἰδών? πρός? πρὸς τόν?] οὕτως ποιοῦντα τὸν νεανίαν, λαβὼν καὶ αὐτὸς ἐκ τῶν προσκειμένων ὑφασμάτων ...

VIII, 1. παραινούντων: Mingarellio legendum videbatur παροινούντων („*quum vero Iudaei Zacchaeum probro afficerent*“). | πάρειμι: Dresd παρήμοι | καταράσομαι et infra καταράσεται: uterque codex καταράσσομαι et καταρράσσεται. Thilo edidit καταράσωμαι et καταράσηται, quemadmodum etiam Mingarellius edi voluit.

ἀποστείλας με δι' ὑμᾶς. [2] Καὶ ὡς τὸ παιδίον κατέπαυσε τὸν λόγον, εὐθέως ἐσώθησαν οἱ πάντες οἱ ὑπὸ τὴν κατάραν αὐτοῦ πεσόντες. καὶ οὐδεὶς ἀπὸ τότε ἐτόλμα παροργίσαι αὐτόν, ὅπως μὴ καταράσεται αὐτὸν καὶ ἔσται ἀνάπηρος.

## Caput IX.

[1] Καὶ μεθ' ἡμέρας δέ τινας ἔπαιζεν ὁ Ἰησοῦς ἔν τινι δώματι ἐν ὑπερῴῳ, καὶ ἓν τῶν παιδίων τῶν παιζόντων μετ' αὐτοῦ πεσὼν ἀπὸ τοῦ δώματος κάτω ἀπέθανε· καὶ ἰδόντα τὰ ἄλλα παιδία ἔφυγον, καὶ κατέστη ὁ Ἰησοῦς μόνος. [2] Καὶ ἐλθόντες οἱ γονεῖς τοῦ τεθνεῶτος ἐνεκάλουν .... ἐκεῖνοι δὲ ἐπηρέαζον αὐτόν. [3] Κατεπήδησεν ὁ Ἰησοῦς ἀπὸ τοῦ στέγου καὶ ἔστη παρὰ τὸ πτῶμα τοῦ παιδίου, καὶ ἔκραξε φωνῇ μεγάλῃ καὶ εἶπεν Ζῆνον, — οὕτω γὰρ τὸ ὄνομα αὐτοῦ ἐκαλεῖτο — ἀναστὰς εἰπέ μοι, ἐγώ σε κατέβαλον; καὶ ἀναστὰς παραχρῆμα εἶπεν Οὐχὶ κύριε, οὐ κατέβαλας ἀλλὰ ἀνέστησας. καὶ ἰδόντες ἐξεπλάγησαν. οἱ δὲ γονεῖς τοῦ παιδίου ἐδόξασαν τὸν θεὸν ἐπὶ τῷ γεγονότι σημείῳ, καὶ προσεκύνησαν τῷ Ἰησοῦ.

---

2. ἀνάπηρος: Dresd ἀνάπειρος. Idem cum Bonon antea παρoργῆσαι.

IX, 1. ἔπαιζεν: ita codices. Hinc per errorem Thilo edidit ἔπαιξεν | δώματι: Dresd τόπω δώματι, priore voce obelo transfixa | πεσών: ita uterque codex. | ἰδόντα τὰ ἄλλα: Dresd ἰδὼν τὰ ἄλλα; Bonon teste Mingarellio ἰδόντα ἄλλα | κατέστη: uterque codex κατέβη. Emendandum esse κατέστη vel κατέμεινεν, iam Thilo notavit.

2. ἐλθόντες: uterque codex ἐλθόντα | τοῦ τεθνεῶτος: ita Dresd; Bonon τοῦ παιδίου ἤγουν τοῦ τεθνεῶτος | ἐνεκάλουν: Bonon, ut supra, ἐνεγκάλουν. Sequuntur in codicibus haec ὡς αὐτὸν καταβληθέντα αὐτόν, quae corrupta esse in promtu est. Excidisse nonnihil, cum Thilone recte concluditur cum ex iis quae sequuntur ἐκεῖνοι δέ, tum ex loco gemino evangelii latini, qui in Parisiensi codice sic legitur *Et cum venissent parentes illius infantis qui mortuus fuerat, dicebant adversus Iesum Vere tu illum ruere fecisti. Iesus autem dixit Ego nunquam eum ruere feci. Ipsi vero insidiabantur adversum Iesum.* Cf. etiam infra evang. Thom. latin. cap. VII. Hinc ita fere legi potest ἐνεκάλουν τὸν Ἰησοῦν ὡς ὑπ' αὐτοῦ καταβληθῆναι αὐτόν. καὶ εἶπεν Ἐγὼ οὐδέποτε κατέβαλον αὐτόν. ἐκεῖνοι δὲ ἐπηρ. αὐτόν. Etiam in Sinaitico codice locus geminus est capite VIII., quem huc conferre iuvat. | ἐπηρέαζον: Dresd ἐπειρέαζον, Bonon ἐπειρεάζωντο.

3. στέγου: cf. ad B VIII, 1. Bonon στέατος. Thiloni στέγους vel στεγνοῦ corrigendum videbatur. | κατέβαλον: Dresd κατέβαλλον | κατέβαλας: Dresd κατέβαλλας. Mingarellio et Thiloni edendum videbatur κατέβαλες | ἀλλά: Dresd ἀλλ' | ἐπὶ τῷ γεγον. σημείῳ: uterque codex ἐπὶ τὸ γεγονότι σημεῖον.

## Caput X.

[1] Μετ' ὀλίγας ἡμέρας σχίζων τις ξύλα ἐν τῇ γωνίᾳ νεώτερος, ἔπεσεν ἡ ἀξίνη καὶ διέσχισεν τὴν βάσιν τοῦ ποδὸς αὐτοῦ, καὶ ἔξαιμος γενόμενος ἀπέθνησκεν. [2] Θορύβου δὲ γενομένου καὶ συνδρομῆς, ἔδραμε καὶ τὸ παιδίον Ἰησοῦς ἐκεῖ. καὶ βιασάμενος διῆλθεν τὸν ὄχλον, καὶ ἐκράτησεν τοῦ νεανίσκου τὸν πεπληγότα πόδαν, καὶ εὐθέως ἰάθη. εἶπε δὲ τῷ νεανίσκῳ Ἀνάστα νῦν, σχίζε τὰ ξύλα καὶ μνημόνευέ μου. ὁ δὲ ὄχλος ἰδὼν τὸ γεγονὸς προσεκύνησαν τὸ παιδίον, λέγοντες Ἀληθῶς πνεῦμα θεοῦ ἐνοικεῖ ἐν τῷ παιδίῳ τούτῳ.

## Caput XI.

[1] Ὄντος δὲ αὐτοῦ ἑξαέτους, πέμπει αὐτὸν ἡ μήτηρ αὐτοῦ ὕδωρ ἀντλῆσαι καὶ φέρειν ἐν τῷ οἴκῳ, δεδωκὼς αὐτῷ ὑδρίαν. ἐν δὲ τῷ ὄχλῳ συγκρούσας, ἡ ὑδρία ἐρράγη. [2] Ὁ δὲ Ἰησοῦς ἁπλώσας τὸ παλίον ὅπερ ἦν βεβλημένος, ἐγέμισεν αὐτὸ ὕδωρ καὶ ἤνεγκε τῇ μητρὶ αὐτοῦ. ἰδοῦσα δὲ ἡ μήτηρ αὐτοῦ τὸ γεγονὸς σημεῖον κατεφίλει αὐτόν, καὶ διετήρει ἐν αὐτῇ τὰ μυστήρια ἃ ἔβλεπεν αὐτὸν ποιοῦντα.

## Caput XII.

[1] Πάλιν δὲ ἐν καιρῷ τοῦ σπόρου ἐξῆλθεν τὸ παιδίον μετὰ

---

X, 1. γωνίᾳ: uterque codex γονίᾳ | ἔπεσεν: ita Dresd; Bonon καὶ ἔπεσεν | Dresd et Bonon ἡ ἀξύνη. Dresd etiam διέσχυσεν | ἔξαιμος: Dresd et Bonon ἐξ αἵματος. Sinaiticus codex recte ἔξαιμος.

2. τὸ παιδ. Ἰησοῦς: ita Dresd; Bonon τὸ παιδ. ὁ Ἰησοῦς | πόδαν: ita uterque codex | τῷ νεανίσκῳ: Dresd τὸν νεανίσκον, Bonon τὸ νεανίσκον | προσεκύνησαν τὸ παιδίον -- ἐν τῷ παιδ. τούτῳ: ita Dresd; Bonon nil nisi προσεκύνησαν τὸ παιδ. τοῦτο.

XI, 1. πέμπει: Bonon πέμπ. δέ | δεδωκώς: ita uterque codex. Thilo edidit δεδωκυῖα, sed nescio an praestet hunc soloecismum cum tot aliis servare. | συγκρούσας: non cum Thilone scribendum puto συγκρούσασα. Eodem enim soloecismo dictum est in Sinaitico codice (cf. B X, 1.) πορευόμενος δὲ συνετρίβη etc.

2. ὅπερ ἦν βεβλημένος: ita Dresd; Bonon ὅνπερ ἦν βεβλημένου | ὕδωρ: ita uterque codex. Mingar. et Thil. correxerunt ὕδατος | κατεφίλει: Bonon κατεφίλησεν | ἔβλεπ. αὐτόν: Dresd et Bonon ἔβλ. αὐτό.

τοῦ πατρὸς αὐτοῦ ἵνα σπείρει σῖτον εἰς τὴν χώραν αὐτῶν· καὶ ἐν τῷ σπείρειν τὸν πατέρα αὐτοῦ ἔσπειρε καὶ τὸ παιδίον Ἰησοῦς ἕνα κόκκον σίτου. [2] Καὶ θερίσας καὶ ἁλωνίσας ἐποίησε κόρους ρ, καὶ καλέσας πάντας τοὺς πτωχοὺς τῆς κώμης εἰς τὴν ἅλωνα ἐχαρίσατο αὐτοῖς τὸν σῖτον· καὶ Ἰωσὴφ ἔφερεν τὸ καταλειφθὲν τοῦ σίτου. ἦν δὲ ἐτῶν η̄ ὅτε τοῦτο ἐποίησε τὸ σημεῖον.

## Caput XIII.

[1] Ὁ δὲ πατὴρ αὐτοῦ τέκτων ἦν, καὶ ἐποίει ἐν τῷ καιρῷ ἐκείνῳ ἄροτρα καὶ ζυγούς. ἐπετάγη αὐτῷ κράββατος παρά τινος πλουσίου ὅπως ποιήσει αὐτῷ. τοῦ δὲ ἑνὸς κανόνος τοῦ καλουμένου ἐναλλάκτου ὄντος κολοβωτέρου, μὴ ἔχοντες τί ποιῆσαι, εἶπεν τὸ παιδίον ὁ Ἰησοῦς τῷ πατρὶ αὐτοῦ Ἰωσήφ Θὲς κάτω τὰ δύο ξύλα, καὶ ἐκ τοῦ μέσου μέρους ἰσοποίησον αὐτά. [2] Καὶ ἐποίησεν Ἰωσὴφ καθὼς εἶπεν αὐτῷ τὸ παιδίον. ἔστη δὲ ὁ Ἰησοῦς ἐκ τοῦ ἑτέρου μέρους καὶ ἐκράτησεν τὸ κολοβώτερον ξύλον, καὶ ἐκτείνας αὐτὸ ἴσον ἐποίησεν τοῦ ἄλλου. καὶ εἶδεν ὁ πατὴρ αὐτοῦ Ἰωσὴφ καὶ ἐθαύμασε, καὶ περιλαβὼν τὸ παιδίον κατεφίλει λέγων Μακάριός εἰμι, ὅτι τὸ παιδίον τοῦτο δέδωκέ μοι ὁ θεός.

---

XII, 1. ἵνα σπείρει: ita uterque codex. Mingar. et Thil. correxerunt ἵνα σπείρῃ | σῖτον: Dresd σίτον, item infra | παιδίον Ἰησοῦς: ita Dresd et Bonon; sed Dresd supra lineam post παιδίον adscriptum habet ὁ. | κόκκον σίτου: Dresd κόκκ. σίτον

2. ἁλωνίσας: Dresd ἁλονήσας, Bonon ἁλονήσας. Mingar. scribi voluit ἁλονήσας vel ἁλωνίσας. Cum Thilone probavimus ἁλωνίσας, quamquam, ut idem notavit, cum pari probabilitate scribi potest ἁλοήσας. | κόρους: uterque codex κάρους | τὴν ἅλωνα: uterque codex τὸν ἅλωνα | καταλειφθέν: Dresd ex emendatione καταληφθέν | ἐποίησε: Bonon ἐποίησας.

XIII, 1. ἦν, καὶ ἐποίει: in utroque codice desideratur καί. Mingarellius malebat ὢν ἐποίει. | ποιήσει: ita uterque codex. Thilo edidit ποιήσῃ | ἐναλλάκτου ὄντος κολοβωτέρου, μὴ ἔχοντες τί ποιῆσαι: ita de coniectura, quam Thilo iam praeiverat, scripsimus. Codices habent ἐναλλάκτου μὴ ἔχοντος τί ποιῆσαι. Praeterea Thilo scribi malebat ἔχοντές τι, quod nobis non videtur. | Ἰωσήφ: ita Dresd; Bonon τῷ Ἰωσήφ | ξύλα: Bonon ξύτα, et infra ξύτον.

2. ἐποίησεν τοῦ ἄλλου: ita Dresd; Bonon ἐπ. αὐτοῦ ἄλλου, pro quibus Mingarellius reponi volebat αὐτὸ ἄλλῳ | καὶ ἐθαύμασε: Bonon om καί | κατεφίλει: Bonon κατεφίλησε.

## Caput XIV.

1 Ἰδὼν δὲ Ἰωσὴφ τὸν νοῦν τοῦ παιδίου καὶ τὴν ἡλικιό-
τητα, ὅτι ἀκμάζει, πάλιν ἐβουλεύσατο μὴ εἶναι αὐτὸ ἄπειρον
τῶν γραμμάτων, καὶ ἀπαγαγὼν αὐτὸ παρέδωκεν ἑτέρῳ διδα-
σκάλῳ. εἶπε δὲ ὁ διδάσκαλος τῷ Ἰωσὴφ Πρῶτον παιδεύσω αὐτὸ
τὰ ἑλληνικά, ἔπειτα τὰ ἑβραϊκά. ᾔδει γὰρ ὁ διδάσκαλος τὴν
πεῖραν τοῦ παιδίου, καὶ ἐφοβήθη αὐτό· ὅμως γράψας τὸν ἀλ-
φάβητον ἐπετήδευεν αὐτὸ ἐπὶ πολλὴν ὥραν, καὶ οὐκ ἀπεκρίνατο
αὐτῷ. 2 Εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς Εἰ ὄντως διδάσκαλος εἶ, καὶ
εἰ οἶδας καλῶς τὰ γράμματα, εἰπέ μοι τοῦ ἄλφα τὴν δύναμιν,
κἀγώ σοι ἐρῶ τὴν τοῦ βῆτα. πικρανθεὶς δὲ ὁ διδάσκαλος ἔκρου-
σεν αὐτοῦ εἰς τὴν κεφαλήν. τὸ δὲ παιδίον πονέσας κατηράσατο
αὐτόν, καὶ εὐθέως ἐλιποθύμησε καὶ ἔπεσεν χαμαὶ ἐπὶ πρόσωπον.
3 Ἀπεστράφη δὲ τὸ παιδίον εἰς τὸν οἶκον Ἰωσήφ. Ἰωσὴφ δὲ
ἐλυπήθη, καὶ παρήγγειλε τῇ μητρὶ αὐτοῦ ὅπως ἔξω τῆς θύρας
μὴ ἀπολύσεις αὐτόν, διότι ἀποθνήσκουσιν οἱ παροργίζοντες αὐτόν.

## Caput XV.

1 Μετὰ δὲ χρόνον τινὰ ἕτερος πάλιν καθηγητής, γνήσιος
φίλος ὢν τοῦ Ἰωσήφ, εἶπεν αὐτῷ Ἄγαγέ μοι τὸ παιδίον εἰς τὸ
παιδευτήριον· ἴσως ἂν δυνηθῶ ἐγὼ μετὰ κολακείας διδάξαι αὐτὸ
τὰ γράμματα. καὶ εἶπεν Ἰωσὴφ Εἰ θαρρεῖς, ἀδελφέ, ἔπαρον

---

XIV, 1. Ἰωσήφ: ita Dresd; Bonon ὁ Ἰωσήφ | παιδίου: ita Bonon; Dresd παιδός | παρέδωκεν: uterque codex παρέδωκαν | ᾔδει: codices ἴδει. Mingar. et Thil. probaverunt οἶδε | πεῖραν τ. παιδίου: Dresd πείραν τ. παιδός | ὅμως: Bonon ὅπως | ἐπετήδευεν: ita cum Mingar. et Thilone. Codices ἐπετήχευεν. Thilo „*nobis in mentem venerat* ἐπέτυχεν *vel* ἐνέτυχεν αὐτῷ (*loculus est cum eo*), *propter seqq.* καὶ οὐκ ἀπεκρ. αὐτῷ (*fortasse* αὐτό)."

2. τὴν τοῦ βῆτα: Dresd om τοῦ | πονέσας: ita uterque codex | ἐλιποθύμησε: codices ἐλυποθύμησε

3. Ἀπεστράφη: codices ἀπεστράφην | ἀπολύσεις: in Dresd correctum esse videtur ἀπολύσῃς | ἀποθνήσκουσιν: Dresd -σκωσιν.

XV, 1. φίλος ὤν: codex uterque φίλ. ἦν | κολακείας: Thilo servandum duxit κολακίας, quod in codicibus est | διδάξαι: codices διδάξω, quo servato Mingarellius vertit *fortasse ego eum docebo, si potero, litteras cum blanditiis* | Εἰ: Bonon Εἰς | ἔπαρον: hic accentus in Dresd est (itemque ut videtur in Bonon).

αὐτὸ μετὰ σεαυτοῦ. καὶ λαβὼν αὐτὸ μετ' αὐτοῦ μετὰ φόβου καὶ ἀγῶνος πολλοῦ, τὸ δὲ παιδίον ἡδέως ἐπορεύετο. [2] Καὶ εἰσελθὼν θρασὺς εἰς τὸ διδασκαλεῖον εὗρε βιβλίον κείμενον ἐν τῷ ἀναλογίῳ. καὶ λαβὼν αὐτὸ οὐκ ἀνεγίνωσκε τὰ γράμματα τὰ ἐν αὐτῷ, ἀλλὰ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐλάλει πνεύματι ἁγίῳ, καὶ ἐδίδασκε τὸν νόμον τοὺς περιεστῶτας. ὄχλος δὲ πολὺς συνελθόντες παριστήκεισαν ἀκούοντες αὐτοῦ, καὶ ἐθαύμαζον ἐν τῇ ὡραιότητι τῆς διδασκαλίας αὐτοῦ καὶ τῇ ἑτοιμασίᾳ τῶν λόγων αὐτοῦ, ὅτι νήπιον ὢν τοιαῦτα φθέγγεται. [3] Ἀκούσας δὲ Ἰωσὴφ ἐφοβήθη, καὶ ἔδραμεν εἰς τὸ διδασκαλεῖον λογισάμενος μὴ οὗτος ὁ καθηγητής ἐστιν ἄπειρος. εἶπε δὲ ὁ καθηγητὴς τῷ Ἰωσήφ Ἵνα εἰδῇς, ἀδελφέ, ὅτι ἐγὼ μὲν παρέλαβον τὸ παιδίον ὡς μαθητήν, αὐτὸ δὲ πολλῆς χάριτος καὶ σοφίας μεστόν ἐστιν· καὶ λοιπὸν ἀξιῶ σε, ἀδελφέ, ἆρον αὐτὸ εἰς τὸν οἶκόν σου. [4] Ὡς δὲ ἤκουσεν τὸ παιδίον ταῦτα, εὐθέως προσεγέλασεν αὐτῷ καὶ εἶπεν Ἐπειδὴ ὀρθῶς ἐλάλησας καὶ ὀρθῶς ἐμαρτύρησας, διὰ σὲ κἀκεῖνος ὁ πληγωθεὶς ἰαθήσεται. καὶ παραυτὰ ἰάθη ὁ ἕτερος καθηγητής. παρέλαβε δὲ Ἰωσὴφ τὸ παιδίον καὶ ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ.

---

non ἐπᾶρον | λαβὼν αὐτό: Bonon λαβ. αὐτόν | ἀγῶνος: ita scripsimus cum Thilone pro ἀγόνου, quod codices habent.

2. θρασὺς εἰς: codices θρασυνῆς. Mingarellius legi voluit καὶ εἰσελθὸν θρασὺ εἰς, pro quibus praestat edere κ. εἰσελθὼν θρασὺ εἰς | ἀναλογίῳ: Mingarellius corrigi volebat ἀναλογείῳ | ὄχλος δὲ -- ἐθαύμαζον: ita maximam partem ex Dresd edidimus praeeunte Thilone. In eo enim sic scriptum est: καὶ ἀκούοντες αὐτῷ. ὄχλος δὲ πολ. συνελθ. παριστήκησαν (sic, quod παριστήκεισαν edidimus. Thilo παρεστήκεισαν) ἀκούοντες αὐτῷ, καὶ ἐθαύμαζον. Contra Bononiensis haec tantum habet: καὶ ἀκούοντες αὐτοῦ, καὶ ἐθαύμαζον | νήπιον ὤν: Bonon ὤν om

3. καὶ ἔδραμεν εἰς τὸ -- ἄπειρος: ita Dresd; Bonon καὶ ἔδραμεν ἄπειρος, omissis mediis. Praeterea sensus verborum μὴ οὗτ. ὁ καθηγ. ἐστιν ἄπειρος satis aptus esse videtur. Alioquin suspicari possis legendum esse μὴ οὗτ. ὁ καθ. ἔσται ἀνάπηρος. Cf. supra cap. VIII, 2. et Pseudo-Matth. XXXIX. Hoc loco gemino id ipsum quod coniecimus confirmatur verbis his *Quod cum audisset Ioseph, currendo venit ad ianuam, timens ne ipse didascalus moreretur.* | εἰδῇς: ita etiam Thiloni scribendum videbatur. Codices ἴδῃς.

4. καὶ παραυτὰ ἰάθη ὁ ἕτ. καθ.: ita Bonon; Dresd καὶ εὐθέως ὁ ἕτ. καθ. ἰάθη | Ἰωσήφ: ita Dresd; Bonon ὁ Ἰωσήφ.

## CAPUT XVI.

Ἔπεμψε δὲ Ἰωσὴφ τὸν υἱὸν αὐτοῦ τὸν Ἰάκωβον τοῦ δῆσαι ξύλα καὶ φέρειν εἰς τὸν οἶκον αὐτοῦ· ἠκολούθει δὲ καὶ τὸ παιδίον Ἰησοῦς αὐτῷ. καὶ συλλέγοντος τοῦ Ἰακώβου τὰ φρύγανα, ἔχιδνα ἔδακε τὴν χεῖραν Ἰακώβου. [2] Καὶ κατατεινομένου αὐτοῦ καὶ ἀπολλυμένου προσήγγισεν ὁ Ἰησοῦς καὶ κατεφύσησε τὸ δῆγμα· καὶ εὐθέως ἐπαύσατο ὁ πόνος, καὶ τὸ θηρίον ἐρράγη, καὶ παραυτὰ ἔμεινεν ὁ Ἰάκωβος ὑγιής.

## CAPUT XVII.

[1] Μετὰ δὲ ταῦτα ἐν τῇ γειτονίᾳ τοῦ Ἰωσὴφ νοσῶν τι νήπιον ἀπέθανεν, καὶ ἔκλαιεν ἡ μήτηρ αὐτοῦ σφόδρα. ἤκουσε δὲ ὁ Ἰησοῦς ὅτι πένθος μέγα καὶ θόρυβος γίνεται, καὶ ἔδραμε σπουδαίως· καὶ εὑρὼν τὸ παιδίον νεκρόν, καὶ ἥψατο τοῦ στήθους αὐτοῦ καὶ εἶπεν Σοὶ λέγω, βρέφος, μὴ ἀποθάνῃς ἀλλὰ ζῆσον, καὶ ἔστω μετὰ τῆς μητρός σου. καὶ εὐθὺς ἀναβλέψας ἐγέλασεν. εἶπε δὲ τῇ γυναικί Ἆρον αὐτὸ καὶ δὸς γάλα, καὶ μνημόνευέ μου. [2] Καὶ ἰδὼν ὁ παρεστὼς ὄχλος ἐθαύμασεν, καὶ εἶπον Ἀληθῶς τὸ παιδίον τοῦτο ἢ θεὸς ἦν ἢ ἄγγελος θεοῦ, ὅτι πᾶς λόγος αὐτοῦ ἔργον ἐστὶν ἕτοιμον. καὶ ἐξῆλθεν ὁ Ἰησοῦς ἐκεῖθεν παίζων μετὰ καὶ ἑτέρων παιδίων.

## CAPUT XVIII.

[1] Μετὰ δὲ χρόνον τινὰ οἰκοδομῆς γενομένης καὶ θορύβου μεγάλου, ἵστατο ὁ Ἰησοῦς καὶ ἀπῆλθεν ἕως ἐκεῖ. καὶ ἰδὼν ἄν-

---

**XVI, 1.** ξύλα καὶ φέρειν: ita Dresd; Bonon ξύτα καὶ φέρει | τὸ παιδίον Ἰησοῦς: supplevimus Ἰησοῦς (scribi solitum ις̅), quod in utroque codice deest | χεῖραν: ita uterque codex

2. κατατεινομένου: codices κατατιναμένου. Mingar. et Thil. κατατειναμένου probarunt; sed addidit Thilo „*fortasse rectius* κατατεινομένου.“ | ἀπολλυμένου: codices ἀπολυμένου | προσήγγισεν: Dresd προσίγγησεν; Bonon προήγγισεν.

**XVII, 1.** νοσῶν: ita uterque codex. Correxerunt Mingar. et Thil. νοσοῦν | καὶ ἥψατο: ita rursus uterque. | Σοὶ λέγω: omnino σοί legendum est pro σύ, quod codd. habent. Bonon praeterea λέγων. | ἔστω: Dresd ἔστο. Mingar. et Thil. (cum Bonon ut videtur) ἔσο.

2. μετὰ καί: ita Dresd; Mingar. et Thil. (cum Bonon ut videtur) καὶ μετά.

θρωπον νεκρὸν κείμενον ἐπελάβετο τῆς χειρὸς αὐτοῦ καὶ εἶπεν Σοὶ λέγω, ἄνθρωπε, ἀνάστα, ποίει τὸ ἔργον σου. καὶ εὐθέως ἀναστὰς προσεκύνησεν αὐτόν. [2] Ἰδὼν δὲ ὁ ὄχλος ἐθαύμασεν καὶ εἶπεν Τοῦτο τὸ παιδίον οὐράνιόν ἐστιν· πολλὰς γὰρ ψυχὰς ἔσωσεν ἐκ θανάτου, καὶ ἔχει σῶσαι ἕως πάσης τῆς ζωῆς αὐτοῦ.

## Caput XIX.

[1] Ὄντος δὲ αὐτοῦ δωδεκαετοῦς ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ κατὰ τὸ ἔθος εἰς Ἱερουσαλὴμ εἰς τὴν ἑορτὴν τοῦ πάσχα μετὰ τῆς συνοδίας αὐτῶν, καὶ μετὰ τὸ πάσχα ὑπέστρεφον εἰς τὸν οἶκον αὐτῶν. καὶ ἐν τῷ ὑποστρέφειν αὐτοὺς ἀνῆλθε τὸ παιδίον Ἰησοῦς εἰς Ἱεροσόλυμα· οἱ δὲ γονεῖς αὐτοῦ ἐνόμισαν αὐτὸν ἐν τῇ συνοδίᾳ εἶναι. [2] Ὁδευσάντων δὲ ὁδὸν ἡμέρας μιᾶς, ἐζήτουν αὐτὸν ἐν τοῖς συγγενέσιν αὐτῶν, καὶ μὴ εὑρόντες αὐτὸν ἐλυπήθησαν, καὶ ὑπέστρεψαν πάλιν εἰς τὴν πόλιν ζητοῦντες αὐτόν. καὶ μετὰ τρίτην ἡμέραν εὗρον αὐτὸν ἐν τῷ ἱερῷ καθεζόμενον ἐν μέσῳ τῶν διδασκάλων καὶ ἀκούοντα τοῦ νόμου καὶ ἐρωτῶντα αὐτούς. προσεῖχον δὲ πάντες καὶ ἐθαύμαζον, πῶς παιδίον ὑπάρχων ἀποστομίζει τοὺς πρεσβυτέρους καὶ διδασκάλους τοῦ λαοῦ, ἐπιλύων τὰ κεφάλαια τοῦ νόμου καὶ τὰς παραβολὰς τῶν προφητῶν. [3] Προσελθοῦσα δὲ ἡ μήτηρ αὐτοῦ Μαρία εἶπεν αὐτῷ Ἵνα τί τοῦτο ἐποίησας ἡμῖν, τέκνον; ἰδοὺ ὀδυνώμενοι ἐζητοῦμέν σε. καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς Τί με ζητεῖτε; οὐκ οἴδατε ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ εἶναί με; [4] Οἱ δὲ γραμματεῖς καὶ οἱ Φαρισαῖοι εἶπον Σὺ εἶ μήτηρ τοῦ παιδίου τούτου; ἡ δὲ εἶπεν Ἐγώ εἰμι. καὶ εἶπον αὐτῇ Μακαρία σὺ εἶ ἐν γυναιξίν, ὅτι ηὐλόγησεν ὁ θεὸς τὸν καρπὸν τῆς κοιλίας σου· τοιαύτην γὰρ δόξαν καὶ

---

XVIII, 1. νεκρὸν κείμενον: ita Dresd; Bonon κείμ. νεκρόν | ἐπελάβετο: Bonon ἐπεβάλετο.

XIX, 1. τὸ παιδ. Ἰησοῦς: ita Dresd; Bonon τὸ παιδ. ὁ Ἰησ.

2. ὑπέστρεψαν: uterque codex ὑποστρέψαντες | καὶ ἀκούοντα τοῦ νόμου: ad haec uterque codex addita habet καὶ ἀκούοντα. Thiloni delenda videbantur potius ea quae servavimus καὶ ἀκούοντα τοῦ νόμου | ὑπάρχων: codices ὑπάρχει.

3. Ἵνα τί: ita Dresd; Bonon om τί | ὀδυνώμενοι: codices ὀδυνόμενοι, unde Mingarellius male adscripsit ὠδινόμενοι.

4. καὶ οἱ Φαρισαῖοι: ita Dresd; Bonon om οἱ | Μακαρία σὺ εἶ: ita Dresd; Bonon om εἶ.

τοιαύτην ἀρετὴν καὶ σοφίαν οὔτε ἴδομεν οὔτε ἠκούσαμέν ποτε.
5 Ἀναστὰς δὲ Ἰησοῦς ἠκολούθησεν τῇ μητρὶ αὐτοῦ, καὶ ἦν
ὑποτασσόμενος τοῖς γονεῦσιν αὐτοῦ. ἡ δὲ μήτηρ αὐτοῦ διετήρει
πάντα τὰ γενόμενα. ὁ δὲ Ἰησοῦς προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ
καὶ χάριτι· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

5. τ. γον. αὐτοῦ: ita Dresd; Bonon τ. γ. αὐτῶν | τῶν αἰώνων: ita Dresd Bonon om.

# ΣΥΓΓΡΑΜΜΑ ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΘΩΜΑ ΠΕΡΙ ΤΗΣ ΠΑΙΔΙΚΗΣ ΑΝΑΣΤΡΟΦΗΣ ΤΟΥ ΚΥΡΙΟΥ.

## Caput I.

Ἀναγκαῖον ἡγησάμην ἐγὼ Θωμᾶς ὁ Ἰσραηλίτης γνωρίσαι πᾶσι τοῖς ἐξ ἔθνους ἀδελφοῖς τὰ παιδικὰ μεγαλεῖα ὅσα ἐποίησεν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀναστρεφόμενος σωματικῶς ἐν πόλει Ναζαρέτ, ἐλθὼν ἐν πέμπτῳ ἔτει τῆς αὐτοῦ ἡλικίας.

## Caput II.

1 Μιᾷ τῶν ἡμερῶν βροχῆς γενομένης ἐξελθὼν τοῦ οἴκου οὗ
ἦν ἡ μήτηρ αὐτοῦ ἔπαιζεν ἐν τῇ γῇ, ἔνθα κατέρρεον ὕδατα·
καὶ ποιήσας λάκκους, κατήρχοντο τὰ ὕδατα, καὶ ἐπλήθησαν
οἱ λάκκοι ὕδατος. εἶτα λέγει Θέλω ἵνα γένησθε καθαρὰ καὶ ἐνά-
ρετα ὕδατα. καὶ εὐθέως ἐγένοντο. 2 Διερχόμενος δέ τις παῖς
Ἄννα τοῦ γραμματέως καὶ βαστάζων βαῦδον ἐξ ἰτέας κατέ-
στρεψε τοὺς λάκκους διὰ τῆς βαύδου, καὶ ἐξεχύθη τὰ ὕδατα.
καὶ στραφεὶς ὁ Ἰησοῦς ἔφη αὐτῷ Ἀσεβὴ καὶ παράνομε, τί σε
ἠδίκησαν οἱ λάκκοι καὶ ἐξεκένωσας αὐτούς; οὐ μὴ ἀπελεύσει
τὴν ὁδόν σου, καὶ ἀποξηρανθῇς ὡς τὴν βαῦδον ἥνπερ κατέχεις.
3 Καὶ πορευόμενος μετὰ μικρὸν πεσὼν ἀπέψυξε. καὶ ἰδόντα τὰ
παιδία τὰ συμπαίζοντα αὐτῷ ἐθαύμασαν, καὶ ἀπελθόντα ἀπήγ-

I. ἐξ ἔθνους: ita Sinaiticus codex, sed codd. quattuor reliqui ἐξ ἐθνῶν. Priora Ἀναγκαῖον usque ὁ κύρ. ἡμῶν Ἰησ. Χρ. cf. cum codicibus Parisiensi et Vindobonensi.

II, 1. Cf. A II, 1.

2. 3. Cf. A III, 1—3.

βαῦδον ἐξ ἰτέας: A III, 1. κλάδον ἰτέας | Ἀσεβή: servavi codicis scripturam, quae eadem est in Dresd et Bonon. | ἀπελεύσει: h. l. in codice est ἀπελεύσις, paullo infra ἀπελεύσει; hinc utroque loco -σει edendum videbatur.

γειλαν τῷ πατρὶ τοῦ τεθνεῶτος. καὶ δραμὼν εὗρε τὸ παιδίον τεθνηκός· καὶ ἀπῆλθεν ἐγκαλῶν τῷ Ἰωσήφ.

## Caput III.

[1] Ὁ δὲ Ἰησοῦς ἐποίησεν ἐξ ἐκείνου τοῦ πηλοῦ στρουθία ιβ· ἦν δὲ σάββατον. καὶ δραμὼν ἓν παιδίον ἀπήγγειλε τῷ Ἰωσὴφ λέγων Ἰδοὺ τὸ παιδίον σου παίζει περὶ τὸ ῥυάκιον, ποιήσας ἐκ τοῦ πηλοῦ στρουθία, ὃ οὐκ ἔξεστιν. [2] Ὁ δὲ ἀκούσας ἐπορεύθη καὶ λέγει πρὸς τὸ παιδίον Ἵνα τί ταῦτα ποιεῖς, βεβηλώσας τὸ σάββατον; ὁ δὲ Ἰησοῦς οὐκ ἀπεκρίθη αὐτῷ, ἀλλ' ἐμβλέψας ἐπὶ τὰ στρουθία λέγει Ὑπάγετε πετάσθητε καὶ μιμνήσκεσθέ μου ζῶντα. καὶ ἅμα τῷ λόγῳ πετασθέντα ἀνῆλθον εἰς τὸν ἀέραν. καὶ ἰδὼν Ἰωσὴφ ἐθαύμασεν.

## Caput IV.

[1] Μετὰ δέ τινας ἡμέρας διερχομένου τοῦ Ἰησοῦ μέσον τῆς πόλεως, παιδίον τι ῥῖψαν λίθον κατ' αὐτοῦ ἔπληξεν αὐτοῦ τὸν ὦμον. καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς Οὐκ ἀπελεύσει τὴν ὁδόν σου. καὶ εὐθέως καταπεσὼν κἀκεῖνος ἀπέθανεν. οἱ δὲ τυχόντες ἐξεπλάγησαν λέγοντες Πόθεν τὸ παιδίον τοῦτό ἐστιν, ὅπως πᾶν ῥῆμα ὃ λέγει ἔργον γίνεται ἕτοιμον; [2] Ἀλλὰ κἀκεῖνοι ἀπελθόντες ἐγκάλουν πρὸς Ἰωσὴφ λέγοντες Οὐ δυνήσῃ μεθ' ἡμῶν οἰκεῖν ἐν τῇ πόλει ταύτῃ· εἰ δὲ βούλῃ, δίδασκε τὸ παιδίον σου εὐλογεῖν καὶ μὴ καταρᾶσθαι· καὶ γὰρ τὰ παιδία ἡμῶν θανατοῖ, καὶ πᾶν ὃ λέγει ἔργον γίνεται ἕτοιμον.

---

III, 1—2. Cf. A II, 2 sqq.

δραμών: in codice est δραμόν, sed statim post λέγων et ποιήσας. Eo vero magis δραμὼν edendum videbatur quoniam Sinaitici codicis scriba saepe ο pro ω posuit, quemadmodum antea habet σοματικῶς, ἐξελθόν, εὐθέος, πορευόμενος μ. μ. πεσόν, καὶ δραμὸν εὗρε | ῥυάκιον: in codice Sinaitico est ῥυάκιν, quam ad formam recentiorem scriba recentior antiquiorem deduxisse videtur; in Dresdensi vero et Bononiensi aperto vitio ῥήαχον (i. e. ῥύαχον) scriptum est.

2. Haec magis cum Parisiensi quam cum Dresdensi scriptura conveniunt.

ἀέραν: ita in codice scriptum est.

IV, 1. Cf. A IV, 1.

ἀπελεύσει: ita codex habet. Vide ad II, 2.

2. Cf. A IV, 2.

ἐγκάλουν: sic in codice est.

## Caput V.

Καὶ καθίσας ὁ Ἰωσὴφ ἐπὶ τοῦ θρόνου αὐτοῦ, ἔστη τὸ παιδίον ἔμπροσθεν αὐτοῦ· καὶ κρατήσας αὐτοῦ ἐκ τοῦ ὠτίου ἔθλιψε σφοδρῶς. ὁ δὲ Ἰησοῦς ἀτενίσας αὐτῷ εἶπεν Ἀρκετόν σοί ἐστιν.

## Caput VI.

[1] Τῇ δὲ ἐπαύριον κρατήσας αὐτοῦ τῆς χειρὸς ἤγαγε πρός τινα καθηγητήν, Ζακχαῖον ὀνόματι, καί φησι πρὸς αὐτὸν Λάβε τὸ παιδίον τοῦτο, καθηγητά, καὶ δίδαξον γράμματα. καί φησιν ἐκεῖνος Παράδος μοι αὐτό, ἀδελφέ, κἀγὼ διδάξω τὴν γραφήν, καὶ πείσω εὐλογεῖν πάντας καὶ μὴ καταρᾶσθαι. [2] Καὶ ἀκούσας ὁ Ἰησοῦς ἐγέλασε καί φησι πρὸς αὐτούς Ὑμεῖς ἃ οἴδατε λέγετε, ἐγὼ δὲ πλείω ὑμῶν ἐπίσταμαι· πρὸ γὰρ τῶν αἰώνων εἰμί. καὶ οἶδα πότε ἐγεννήθησαν οἱ πατέρες τῶν πατέρων ὑμῶν, καὶ ἐπίσταμαι πόσα ἔτη τῆς ζωῆς ὑμῶν. καὶ ἀκούσας τις ἐξεπλάγη. [3] Καὶ πάλιν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς Θαυμάζετε ὅτι εἶπον ὑμῖν ὅτι οἶδα πόσα ἔτη τῆς ζωῆς ὑμῶν· ἀληθῶς οἶδα πότε ἐκτίσθη ὁ κόσμος. ἰδοὺ οὐ πιστεύετέ μοι ἄρτι· ὅταν ἴδητε τὸν σταυρόν μου, τότε πιστεύσετε ὅτι ἀληθῆ λέγω. οἱ δὲ ἐξεπλήσσοντο ἀκούοντες ταῦτα.

## Caput VII.

[1] Γράψας δὲ ὁ Ζακχαῖος τὴν ἀλφάβητον ἑβραϊστί, καὶ λέγει πρὸς αὐτόν Ἄλφα. καί φησιν τὸ παιδίον Ἄλφα. καὶ αὖθις ὁ διδάσκαλος Ἄλφα· καὶ τὸ παιδίον ὁμοίως. εἶτα πάλιν ὁ διδάσκαλος ἐκ τρίτου τὸ ἄλφα. τότε ἐμβλέψας ὁ Ἰησοῦς τῷ καθηγητῇ λέγει Σὺ τὸ ἄλφα μὴ εἰδὼς πῶς ἄλλον τὸ βῆτα διδάξῃς; καὶ ἀρξάμενος τὸ παιδίον ἀπὸ τοῦ ἄλφα εἶπεν ἀφ' ἑαυτοῦ τὰ

---

V. Cf. A V, 1—3, ubi multo plura nostris leguntur.

VI, 1. Cf. A VI, 1. 2.

2. 3. His quae respondeant A non habet. Sed cf. VIII, 1.

2. ἐξεπλάγη: in codice scriptum est ἐξεπλάγισεν.

3. Θαυμάζετε: de coniectura addidi, etsi ipsius scriptura codicis videtur ferri posse. Huc confer evang. Thom. latin. VI, 4. | πότε ἐκτίσθη: codex ὅτε ἐκτίσθην | πιστεύσετε: codex πιστεύσητε.

VII, 1. Cf. A VI. 3.

κβ̄ γράμματα. [2] Εἶτα καὶ αὖθις λέγει Ἄκουσον, διδάσκαλε, τὴν τάξιν τοῦ πρώτου γράμματος, καὶ γνῶθι πόσους προσόδους καὶ κανόνας ἔχει καὶ χαρακτῆρας ξυνοὺς διαβαίνοντας συναγομένους. καὶ ἀκούσας ὁ Ζακχαῖος τὰς τοιαύτας προσηγορίας τοῦ ἑνὸς γράμματος, ἐκπλαγεὶς οὐκ εἶχεν ἀποκριθῆναι αὐτῷ, καὶ στραφεὶς λέγει τῷ Ἰωσήφ Ἀδελφέ, τὸ παιδίον τοῦτο ἀληθῶς οὐκ ἔστι γηγενές· ἆρον οὖν αὐτὸ ἀπ' ἐμοῦ.

## Caput VIII.

[1] Μετὰ δὲ ταῦτα μιᾷ τῶν ἡμερῶν ἦν ὁ Ἰησοῦς παίζων σὺν ἄλλοις παισὶν ἐπάνω διστέγου οἴκου. καὶ κατωθισθὲν ἓν παιδίον ὑπὸ ἄλλου κρημνιζόμενον ἐπὶ τῆς γῆς, καὶ ἀπέθανεν. καὶ ἰδόντες οἱ συμπαίζοντες αὐτῷ παῖδες ἔφυγον, καὶ μόνος ὁ Ἰησοῦς ὑπελείφθη ἑστὼς ἐπάνω τοῦ στέγου οὗ κατεκρημνίσθη ὁ παῖς. [2] Καὶ μαθόντες οἱ γονεῖς τοῦ τεθνηκότος παιδὸς ἔδραμον μετὰ κλαυθμοῦ, καὶ εὑρόντες τὸν μὲν παῖδα κατὰ γῆς νεκρὸν κείμενον, τὸν δὲ Ἰησοῦν ἄνωθεν ἑστῶτα, ὑπολαβόντες ὡς ὑπ' αὐτοῦ κατακρημνισθῆναι τὸν παῖδαν, καὶ ἀτενίζοντες ὠνείδιζον αὐτόν. [3] Ὁ δὲ Ἰησοῦς ἰδὼν εὐθέως κατεπήδησεν ἀπὸ τοῦ διστέγου, καὶ ἔστη πρὸς κεφαλῆς τοῦ τεθνηκότος καὶ λέγει αὐτῷ Ζῆνον, εἰ ἐγώ σε κατέβαλον; ἀνάστα καὶ εἰπέ. οὕτως γὰρ ἐκαλεῖτο ὁ παῖς. καὶ ἅμα τῷ λόγῳ ἀνέστη ὁ παῖς, καὶ προσκυνήσας τὸν Ἰησοῦν εἶπεν Κύριε, οὐ σύ με κατέβαλες, ἀλλὰ νεκρὸν ὄντα με ἐζώωσας.

## Caput IX.

[1] Καὶ μετ' ὀλίγας ἡμέρας σχίζων τις τῶν γειτόνων ξύλον

---

2. Cf. A VI, 4., ubi scripturam libri ratione critica restituere conati sumus. Sinaiticam vero scripturam intactam reliquimus, nisi quod ξυνούς et διαβαίνοντας pro ὀξύνους (etiam Dresd codex l. l. ξύνους, non ξυνούς, habet) et διαβένοντας edidimus.

VIII. Cf. A IX.

1. στέγου: videtur τὸ στέγον et τὸ διστέγον recentioribus pro τὸ στέγος ἡ στέγη placuisse. Etiam Dresd A IX, 2. habet ἀπὸ τοῦ στέγου.

2. τὸν παῖδαν: ita h. l. codex.

3. Ζῆνον: in codice scriptum est ζῆνων.

IX. Cf. A X.

ἀπέτεμε τὴν βάσιν τοῦ ποδὸς αὐτοῦ διὰ τοῦ πελέκυος, καὶ ἔξαιμος γεγονὼς ἤμελλεν ἀποθνήσκειν. [2] Καὶ λαοῦ συνδεδραμηκότος πολλοῦ συνῆλθεν καὶ ὁ Ἰησοῦς ἐκεῖ. καὶ ἀψάμενος τοῦ πεπληγμένου ποδὸς τοῦ νεανίσκου, καὶ εὐθέως ἰάσατο αὐτόν, καί φησιν αὐτῷ Ἀνάστα, σχίσον τὰ ξύλα σου. καὶ ἀναστὰς προσεκύνησεν αὐτόν, εὐχαριστῶν καὶ σχίζων τὰ ξύλα. ὁμοίως καὶ πάντες οἱ ὄντες ἐκεῖ θαυμάσαντες ηὐχαρίστησαν αὐτῷ.

## Caput X.

Γενομένου δὲ αὐτοῦ ἐτῶν ϛ̄, ἀπέστειλεν αὐτὸν Μαριὰμ ἡ μήτηρ αὐτοῦ κομίσαι ὕδωρ ἐκ τῆς πηγῆς. πορευόμενος δὲ συνετρίβη ἡ ὑδρία αὐτοῦ. καὶ ἀπελθὼν ἐν τῇ πηγῇ ἥπλωσε τὸν ἐπενδύτην αὐτοῦ καὶ ἀντλήσας ὕδωρ ἐκ τῆς πηγῆς ἔπλησεν αὐτόν, καὶ λαβὼν ἀπήγαγε τὸ ὕδωρ τῇ μητρὶ αὐτοῦ. ἰδοῦσα δὲ ἐκείνη ἐξεπλάγη, καὶ περιπλακεῖσα κατεφίλει αὐτόν.

## Caput XI.

[1] Φθάσας δὲ τὸ ὀγδόον τῆς ἡλικίας ἔτος, προσετάγη ὁ Ἰωσὴφ ὑπό τινος πλουσίου κράββατον οἰκοδομῆσαι αὐτῷ· τέκτων γὰρ ἦν. καὶ ἐξελθὼν ἐν τῷ ἀγρῷ πρὸς συλλογὴν ξύλων, συνῆλθεν αὐτῷ καὶ ὁ Ἰησοῦς. καὶ κόψας δύο ξύλα καὶ πελεκίσας τὸ ἓν ἔθηκεν πλησίον τοῦ ἄλλου, καὶ μετρήσας εὗρεν αὐτὸ κολοβώτερον, καὶ ἰδὼν ἐλυπήθη, καὶ ἐζήτει εὑρεῖν ἕτερον. [2] Ἰδὼν δὲ ὁ Ἰησοῦς λέγει αὐτῷ Θὲς τὰ δύο ταῦτα ὁμοῦ πρὸς ἰσότητα ἀμφοτέρων προτομῶν. καὶ διαπορούμενος ὁ Ἰωσὴφ περὶ τούτου, τί βούληται τὸ παιδίον, ἐποίησεν τὸ προσταχθέν. καὶ λέγει αὐτῷ πάλιν Κράτησον ἰσχυρῶς τὸ κολοβὸν ξύλον. καὶ θαυμάζων ὁ Ἰωσὴφ ἐκράτησεν αὐτό. τότε κρατήσας καὶ ὁ Ἰησοῦς τὸ ἕτερον ἄκρον εἵλκυσεν αὐτοῦ τὴν ἄλλην προτομήν· ἐποίησεν κἀκεῖνο ἴσον τοῦ ἄλλου ξύλου, καί φησι πρὸς τὸν Ἰωσὴφ Μηκέτι

---

1. πελέκυος: codex πέλεκος.
X. Cf. A XI.
XI, 1. 2. Cf. A XIII.
1. προσετάγη: codex προσεγάγη.
2. ἐκράτησεν αὐτό: codex ἐκρ. αὐτόν, item infra ἐποίησεν κἀκεῖνον | εἵλκυσεν: codex ἥλκησεν.

λυποῦ, ἀλλὰ ποίει ἀκωλύτως τὸ ἔργον σου. καὶ ἰδὼν ἐκεῖνος ὑπερεθαύμασεν, καὶ λέγει καθ' ἑαυτόν Μακάριός εἰμι ἐγώ, ὅτι τοιοῦτον παῖδά μοι ἔδωκεν ὁ θεός. [3] Ἀπελθόντων δὲ ἐν τῇ πόλει διηγήσατο τῇ Μαριὰμ ὁ Ἰωσήφ. ἐκείνη δὲ ἀκούσασά τε καὶ βλέπουσα τὰ παράδοξα μεγαλεῖα τοῦ υἱοῦ αὐτῆς ἔχαιρεν, δοξάζουσα αὐτὸν σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

3. Haec A XIII. non habentur.
μεγαλεῖα: codex μεγαλία.

---

# ΥΠΟΜΝΗΜΑΤΑ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ ΠΡΑΧΘΕΝΤΑ ΕΠΙ ΠΟΝΤΙΟΥ ΠΙΛΑΤΟΥ.

## ΠΡΟΛΟΓΟΣ.

Ἐγὼ Ἀνανίας προτίκτωρ ἀπὸ ἐπάρχων, τυγχάνων νομομαθής, ἐκ τῶν θειῶν γραφῶν ἐπέγνων τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πίστει προσελθών, καταξιωθεὶς δὲ καὶ τοῦ ἁγίου βαπτίσματος· ἐρευνήσας δὲ καὶ τὰ ὑπομνήματα τὰ κατὰ τὸν καιρὸν ἐκεῖνον πραχθέντα ἐπὶ τοῦ δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ. ἃ κατέθεντο οἱ Ἰουδαῖοι ἐπὶ Ποντίου Πιλάτου, ταῦτα εὗρον τὰ ὑπομνήματα ἐν ἑβραϊκοῖς γράμμασιν, καὶ θεοῦ εὐδοκίᾳ μεθερμήνευσα γράμμασιν ἑλληνικοῖς εἰς ἐπίγνωσιν πάντων τῶν ἐπικαλουμένων τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπὶ τῆς

---

* Ita titulum habent FH .. G τὰ ὑπομνήματα τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ .. C ὑπομνήματα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἃ ἐπράχθησαν ἐπὶ Ποντίου Πιλάτου ἡγεμονεύοντος τῆς Ἰουδαίας .. Coptus *Commentarii Salvatoris conscripti sub Pontio Pilato praeside* .. A ὑπομνήματα τῶν πραχθέντων εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐπὶ Ποντίου Πιλάτου ἡγεμόνος συγγραφέντα ὑπὸ Νικοδήμου ἄρχοντος συναγωγῆς τῶν Ἰουδαίων γράμμασιν ἑβραϊκοῖς .. E ὑπομνήματα πραχθέντα (codex πραγχέντα) περὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπὶ Ποντίου Πιλάτου τοῦ ἡγεμόνος τῆς Ἰουδαίας, ἅπερ αὐτὸς ὁ Πιλάτος (hoc accentu codex) ἐξέπεμψεν διὰ ἰδίας ἀναφορᾶς Αὐγούστῳ Καίσαρι ἐν τῇ Ῥώμῃ .. D ὑπόμνημα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ [ἱστορία?] εἰς τὴν ἀποκαθήλωσιν αὐτοῦ συγγραφεῖσα παρὰ τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου.

Prologum istum solus habet codex C; non habent ADEFGH; hiat B. Praeterea vero invenitur etiam in Copto interprete, item in Latinorum codicibus nonnullis, quos ad latinum textum vide.

προτίκτωρ: ita codex; Birch edidit προτεκτωρ | τυγχάνων: Thilo cum praecedentibus coniunxit. Idem post γραφῶν interpunxit. | ἐπέγνων: codex ἐπέγνω (Birch επιγνω) | καταξιωθείς: codex κατηξιωθείς | κατέθεντο: codex -θοντο | εὗρον: codex ἑρῶ (Birch ειρω) | μεθερμήνευσα: sic corrigendum videbatur pro

βασιλείας τοῦ δεσπότου ἡμῶν Φλαβίου Θεοδοσίου, ἔτους ἑπτακαιδεκάτου, καὶ Φλαβίου Οὐαλεντινιανοῦ τὸ ἕκτον, ἐν ἰνδικτιῶνι θ'.

Πάντες οὖν ὅσοι ἀναγινώσκετε καὶ μεταβάλλετε εἰς ἕτερα βιβλία, μνημονεύετέ μου καὶ εὔχεσθε ὑπὲρ ἐμοῦ, ἵνα ἵλεός μοι γένηται ὁ θεὸς καὶ ἱλάσηται ταῖς ἁμαρτίαις μου ἃς ἥμαρτον εἰς αὐτόν.

Εἰρήνη τοῖς ἀναγινώσκουσι καὶ τοῖς ἀκούουσι καὶ τοῖς οἰκέταις αὐτῶν. ἀμήν.

---

Ἐν ἔτει πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος βασιλέως Ῥωμαίων, καὶ Ἡρώδου βασιλέως τῆς Γαλιλαίας, ἐν

---

μεθερμηνεύσας quod in codice est | τὸ ἕκτον: codex τοῦ ἕκτον, unde Thilo τοῦ ἕκτου edidit. Videtur Valentinianus tum sextum consul fuisse dici. Ceterum numerum ἑπτακαιδεκάτου confirmat Coptus, sed pro τὸ ἕκτον habet *quintum*. Latinus vero pro priore *annum decimum octavum*, et pro Οὐαλεντινιανοῦ τὸ ἕκτον habet *Valentiniano Augusto*.

καὶ μεταβάλλετε: καί in codice excidit | καὶ εὔχεσθε: ita potius scribendum videbatur quam εὔχ. καί, quemadmodum in codice est.

τ. οἰκέτ. αὐτῶν: ita legendum videtur quemadmodum Coptus habet *eorumque domui universae*. Birch ex ipso codice hauserat αὐτῶν, sed Thilo ibidem αὐτοῦ legit nec id („*servos dei*“) reiiciendum putat.

---

Hanc temporis notam actibus praefigunt ACEG, item D. Praetereunt FH. Rursus hiat B. Eandem vero etiam Coptus et Latinorum aliquot codices tenent.

Ἐν (pro eo Birch edidit Ἐγένετο) ἔτει πεντεκαιδεκάτῳ cum CG. Eundem annum agnoscunt Clem. Alex. Strom. I. p. 147. Tertull. adv. Iud. 8. August. civ. dei 18, 54. Lactant. institutt. 4, 10. .. DE ἐν ἔτει ὀκτωκαιδεκάτῳ. Hunc annum tuentur Hieronymus et Cedrenus ex Eusebii (vide post) ut sibi videntur auctoritate .. Latinorum codd. Eins. Flor. Fabric. *in anno XVIIII.* Quem annum confirmat ni fallor Coptus, in quo ante *nono* excidisse videtur *decimo*. Accedunt versiones veteres Germanicae, Anglosaxonicae, Francogallicae. Eandem computationem praeivit Eusebius in chron. armen. II. p. 264. (cf. etiam Syncell. chronogr. p. 324. Niceph. hist. eccl. 1, 40., quamquam Hieronymus vertit XVIII., adstipulante post Cedreno, i. e. ιη' pro ιθ'.) .. A ἐν ἔτει δεκάτῳ. Item lat. cod. Cors. In utroque excidisse videtur alter numerus .. denique Iul. Afric. (Reliq. sacr. ed. Routh. II, p. 187.) annum Tiberii XVI. tuetur. | ἡγεμονίας cum CDEG .. A βασιλείας | βασιλέως Ῥωμαίων cum EG, item Copto et Latino .. C καὶ βασιλ. Ῥωμ. .. A τῆς Ῥωμαίων ἀρχῆς .. D om | καὶ Ἡρώδου (C add τοῦ, non item AG) βασιλέως τῆς Γαλιλαίας (cum G et [Γαλατίας habet] C, item Copto et Latino; A τῆς Ἰου-

ἐννεακαιδεκάτῳ ἔτει τῆς ἀρχῆς αὐτοῦ, τῇ πρὸ ὀκτὼ καλανδῶν Ἀπριλλίων, ἥτις ἐστὶν εἰκὰς πέμπτη Μαρτίου, ἐν ὑπατείᾳ Ῥούφου καὶ Ῥουβελλίωνος, ἐν τῷ τετάρτῳ ἔτει τῆς διακοσιοστῆς δευτέρας ὀλυμπιάδος, ἐπὶ ἀρχιερέως τῶν Ἰουδαίων Ἰωσήπου τοῦ Καϊάφα.

---

δαίας) .. D βασιλεύοντος Ἡρώδου τῆς Ἰουδαίας, E καὶ Ἡρώδου τοῦ υἱοῦ Ἡρώδου τῆς Ἰουδαίας | ἐν (cum CG; praetermittunt AE) ἐννεακαιδεκ. (A ἐνακαιδεκ.) ἔτει (hoc ante ἐννεακαιδ. ponunt C [habet τῇ] G; iidem ante τῆς ἀρχῆς addunt ἐπί) τῆς ἀρχ. αὐτοῦ .. D om | τῇ πρὸ ὀκτὼ καλανδῶν Ἀπριλλίων (haec cum G et [omisso Ἀπριλλ.] A; C τῇ ὀγδόῃ Ἀπριλλίω), ἥτις ἐστὶν εἰκὰς (ita A et [νίκας] G, C ἠκάδι) πέμπτη Μαρτίου (ita G, item [Μαρτίω] C; A τοῦ Μαρτίου μηνός) .. eadem apud Latinos habentur; item in Copto quamquam τῇ usque Ἀπριλλίων non exprimit .. DE om. Nostram actorum Pilati lectionem iam notarunt Epiphanius (haer. L. Quartodecim. 1. ἀπὸ τῶν ἄκτων δῆθεν Πιλάτου αὐχοῦσι τὴν ἀκρίβειαν εὑρηκέναι, ἐν οἷς ἐμφέρεται τῇ πρὸ ὀκτὼ καλανδῶν Ἀπριλλίων τὸν σωτῆρα πεπονθέναι.) et auctor (Chrysostomus?) homil. 8. in pascha (τὰ γὰρ ὑπομνήματα τὰ ὑπὸ Πιλάτου πραχθέντα καὶ τὴν προθεσμίαν περιέχει τοῦ πάσχα. ἱστορεῖται οὖν ὅτι τῇ πρὸ ὀκτὼ καλανδῶν Ἀπριλλίων ἔπαθεν ὁ σωτήρ.). Sed Epiphanius testatur etiam in aliis actorum Pilati exemplis pro *die VIII.* se invenisse *diem XV.* Eundem vero diem octavum ante Calend. April. confirmant locis laudatis Clem. Alex., Tertull., Augustinus. Contra Graecorum Menaea diem Martii XXIII. tenent, ad quos accedit Lactantius l. l. Denique Epiphan. haer. LI. Alogor. 23. est πάσχει ὁ σωτὴρ ἐν τῷ πρὸ ιγ' καλανδῶν Ἀπριλλίων. | ἐν ὑπατείᾳ (ita A; C ἐν ὑπατίου, G ἐν ἱπατίου) Ῥούφου (ita A; G Ῥόφου; C Ἀρουφίνου, nisi forte est ἐν ὑπατίουα ῥουφίνου) καὶ Ῥουβελλίωνος (A Ῥουβελίωνος sic; G Ῥουβελιανοῦ, C Ῥουβιλεόνου) .. D ἐπὶ ὑπάτου Βικεντιανοῦ („quo nomine recentiores Graeci Romanum designant cuius proprium nomen ignorant") .. E om. Sed cum lectione nostra consentit etiam Coptus: *consulatu Rufi et Rubellionis.* Item fere Latini, nisi quod *Rufini* pro *Rufi* habent. Praeterea cf. Epiphan. haer. LI. Alogor. 23. (ὑπατεία Ῥούφου καὶ Ῥουβελλίωνος), qui aeque ac Fasti Siculi *Rufum et Rubellionem* (Fast. Sic. *Rubellinum*) consules a consulatu *duorum Geminorum* (τῶν δύο Γεμηνῶν) distinguit. Aliter Tertull. l. l. (*passio perfecta est -- consulibus Rubellio Gemino et Rufio* [Fufio?] *Gemino*). Quam Tertulliani sententiam confirmat Tacit. annal. V, 1. ubi est *Rubellio et Fufio consulibus, quorum utrique Geminus cognomentum erat.* | ἐν τῷ τετάρτῳ ἔτει τῆς διακ. δευτ. (E τῆς αὐτῆς pro τ. δ. δ.) ὀλυμπ. cum ACG, item E (D haec omnia om). Consentit Coptus, nisi quod δευτέρας praetermittit; item Latini. Iulio Africano pro *quarto* eiusdem Olympiadis anno placuit *secundus,* cf. Routh Reliq. sacr. II. p. 188. Memorabile vero est mirabilem solis defectionem a Phlegonte narratam in eundem annum incidisse tradi; cf. Euseb. Chron. armen. II. p. 265. et idem in Syncelli chronogr. p. 324.: pro τῷ δέ enim omnino τῷ δ', adstipulante Hieronymo interprete, legendum est, ita ut scripserit ex Phlegonte Eusebius τῷ δ' ἔτει τῆς σβ' ὀλυμπιάδος ἐγένετο ἔκλειψις ἡλίου μεγίστη τῶν ἐγνωρισμένων πρότερον. | ἐπί cum ADEG; item Copt et Lat .. C καὶ ἐπί | ἀρχιερέως cum ACG .. DE ἀρχιερέων | Ἰωσήπου τοῦ Καϊάφα cum A; item Ἰωσίπου (D -ίππου) καὶ Καϊάφα DG. Nec aliter (vel cum A vel cum DG faciunt) Copt et Latt .. C nil nisi

Ὅσα μετὰ τὸν σταυρὸν καὶ τὸ πάθος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος θεοῦ γράμμασιν ἑβραϊκοῖς ἱστορήσας Νικόδημος ἔγραψε καὶ τοῖς μετέπειτα κατέλιπεν. ὧδέ πως ἔχει.

---

## Caput I.

1 Συμβούλιον γὰρ ποιήσαντες οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, Ἄννας καὶ Καϊάφας καὶ Σήμης καὶ Δαθαής καὶ Γαμαλιήλ, Ἰούδας. Λευὶς καὶ Νεφθαλείμ, Ἀλέξανδρος καὶ Ἰάειρος

---

Καϊάφα . . E Ἄννα καὶ Καϊάφα. Praeterea lectionem codicis A confirmant Ioseph. antiqq. iud. 18, 4. 3. et Euseb. hist. eccl. 1, 10. testantes plenum illius pontificis nomen Ἰώσηπος ὁ Καϊάφας fuisse.

Ὅσα μετὰ usque ὧδέ πως ἔχει: ita prorsus A . . CEG καὶ ὅσα μετὰ τὸν σταυρὸν καὶ τὸ πάθος τοῦ κυρίου (CG κυρίου, E Ἰησοῦ), tum G pergit ἱστορήσας Νικόδημος παρέδωκεν τοῖς ἀρχιερεῦσιν καὶ τοῖς ἄλλοις Ἰουδαίοις, συνέταξεν ὁ αὐτὸς Νικόδημος γράμμασιν ἑβραϊκοῖς: C pergit ἱστόρησεν Νικόδημος καὶ παρέδωκε τοῖς ἀρχιερεῦσι καὶ τοῖς ἄλλοις Ἰουδαίοις· συνέταξεν δὲ ὁ αὐτὸς Νικόδημος γράμμασιν ἑβραϊκοῖς: E pergit ἱστόρησε Νικόδημος τὰ πεπραγμένα τοῖς Ἰουδαίοις καὶ τοῖς ἀρχιερεῦσι, συνέταξεν ὁ αὐτὸς Νικόδημος γράμμασιν ἑβραϊκοῖς ἐν ταῖς ἡμέραις ἐκείναις σταυρωθέντος τοῦ Ἰησοῦ καὶ Ποντίου Πιλάτου ἡγεμονεύοντος τῆς τε Παλαιστίνης καὶ τῆς Φοινίκης . . D haec tantum habet eaque praecedentibus annexa: ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐσταυρώθη . . Coptus quae habet, ea satis corrupta esse videntur: *atque hi omnes fuerunt post crucifixionem et ea quae contigerunt domino nostro Iesu Christo. Nicodemus itaque dux Iudaeorum perquisivit ea quae summi sacerdotes et reliqui Iudaei gesserunt sese Christo opponentes. Porro Nicodemus ea omnia scripsit ut memoriae mandarentur litteris hebraicis hoc modo* . . . de Latinis ad codicem A prope accedit Fabric *quanta post crucem et passionem domini historiatus est Nicodemus litteris hebraicis.* Porro Flor (similiterque Eins et Cois) *et quanta post* – – *Nicodemus acta a principibus sacerdotum* [et] *reliquis Iudaeis, mandavit ipse Nicodemus litteris hebraice.*

I, 1. Συμβούλιον – – γραμματεῖς cum A . . FH Ἐν ταῖς ἡμέραις ἐκείναις συμβούλιον ποιήσαντες οἱ Ἰουδαῖοι . . CDG nil eiusmodi nominibus sequentibus praemittunt, nec magis codices latini, nisi quod Fabric post *Annas* addit *enim* . . Copt *Sequentes quorum nomina sunt* | Ἄννας κ. Καϊάφας (G Καΐφας) cum ACDG, Copto et Latinis . . FH nec haec nec reliqua nomina habent | καὶ Σήμης καὶ Δαθαής cum A . . G κ. Σουμνῆ κ. Δοθαΐ, Copt *et Summis et Dothaim* . . C κ. Νουμῆς κ. Δοθαή . . D καὶ Συμεών, altero omisso . . Latini plerique *et* (alii om) *Summas* (*Somne, Summe, Symeon*) *et* (alii om) *Datam* (*Dathan*): duo vero codd. Vat, item Venetus *summi sacerdotes et doctores*, item Ambr *et alii summi sacerdotes, Datam videlicet* | καὶ Γαμαλιήλ cum G et Copto; item omisso καί C; item vel addito vel omisso καί Latini . . AD om | Ἰούδας Coptus (item Ambr) *et Iudas* | Λευίς cum CD (Λεβίς) G, item (*Livis*) Copt (Copt et aliquot codd. lat. praeponunt *et*) . . A Λευί, item plerique codd. lat. (unus *Heyleb*, idque ante *Iudas* positum) | καὶ (cum A Copt et aliquot codd. lat.; G aliique om) Νεφθαλείμ (-λήμ, -λίμ) | Ἀλέξανδρος cum ADG Copto et Latinis plerisque (sed Vatt et Ven *Androson*) . . C om | καὶ (C Vatt om) Ἰάειρος (G Ἴαχρος, Copt

καὶ οἱ λοιποὶ τῶν Ἰουδαίων ἦλθον πρὸς Πιλᾶτον κατηγοροῦντες τοῦ Ἰησοῦ περὶ πολλῶν πράξεων, λέγοντες Τοῦτον οἴδαμεν ὄντα υἱὸν Ἰωσὴφ τοῦ τέκτονος ἀπὸ Μαρίας γεννηθέντα, καὶ λέγει ἑαυτὸν εἶναι υἱὸν θεοῦ καὶ βασιλέα· ἀλλὰ καὶ τὰ σάββατα βεβηλοῖ, καὶ τὸν πάτριον νόμον ἡμῶν βούλεται καταλῦσαι. λέγει ὁ Πιλᾶτος Καὶ τίνα ἐστὶν ἃ πράττει καὶ βούλεται καταλῦσαι; λέγουσιν οἱ Ἰουδαῖοι Νόμον ἔχομεν ἐν σαββάτῳ μὴ θεραπεῦσαί τινα· οὗτος δὲ χωλοὺς καὶ κυρτοὺς ξηρούς τε καὶ τυφλοὺς καὶ παραλυτικοὺς κωφοὺς καὶ δαιμονιζομένους ἐθεράπευσεν ἐν σαβ-

---

*Ilierius*) cum CG Copt Ven Vatt .. A καὶ Ἕρμηλος, D καὶ Ἰώσηπος, plures Latini *et Syrus* (*Cyrus*).

In recensione B haec nomina sic leguntur: -- ἦλθον ἐκ τῶν Ἰουδαίων πρὸς αὐτοὺς (i. e. ad Annam et Caiapham) ἀρχιερεῖς Ἰούδας, Λευί, Νεφθαλείμ, Ἀλέξανδρος, Σύρος.

οἱ λοιπ. τῶν Ἰουδαίων cum CDG, item (*reliqui Iudaeorum*) Flor Eins .. A (item ut videtur Copt et plerique codd. lat.) οἱ λ. Ἰουδαῖοι | ἦλθον cum A Copto et Latinis .. CDG οἵτινες ἦλθον | πρὸς Πιλᾶτον: solus C praem κατ' ἰδίαν | κατηγορ. τοῦ Ἰησοῦ cum A, item (*accus. dominum nostrum Iesum Christum*) Copt Vatt Ven .. CDG multique codd. lat. κατὰ τοῦ Ἰησοῦ κατηγορ. αὐτόν (G αὐτοῦ) | περὶ πολλ. πράξ. cum AG, item *de* (*in*) *multis* Vatt Ven .. Copt om .. CD aliique codd lat. add κακῶν | Τοῦτον: G (item Vatt Ambr) add τὸν Ἰησοῦν .. Copt *Iesum*, omisso τοῦτον | G εἴδαμεν | ὄντα υἱόν cum A .. G υἱόν, Latini *filium* .. C εἶναι αὐτὸν υἱόν .. D ὀνομαζόμενον υἱόν .. Copt *esse filium* | ἀπὸ Μαρίας γεννηθ. cum CG Copto et Latinis .. A καὶ Μαρίας .. D καὶ ἡ μήτηρ αὐτοῦ Μαριάμ | ἑαυτὸν εἶναι υἱὸν θεοῦ καὶ βασιλέα cum CDG, item *se esse dei filium et regem* Copt, item *se esse filium dei et regem* Eins aliique .. A υἱὸν θεοῦ ἑαυτὸν καὶ βασιλέα εἶναι | ἀλλὰ (Copt Cors om) καὶ τὰ σάββ. βεβ. cum A Copt Cors .. CDG (item Latini) praem οὐ μόνον δὲ (plerique Latini *Et non solum*, Eins *Non solum*) τοῦτο (G om; Fabric add *dicit*) | πάτριον cum AC .. DG πατρῷον | νόμον ἡμῶν cum A Copto et Latinis .. CDG om ἡμῶν | λέγει (G et codd. aliquot lat. add αὐτοῖς) ὁ Πιλ. Καὶ (C et Latini om) τίνα (ita G et Latini; A Τί) ἐστὶν ἃ (A ὃ) πράττ. καὶ βούλ. καταλ. (κ. β. κατ. cum G et Latinis plurimis; A Flor om) cum GA Vatt Ven Flor etc .. C om, item Copt (transiluere ab altero καταλῦσαι ad alterum) .. D haec cum aliis pluribus (usque dum sequitur Ἀξιοῦμεν) om | λέγουσιν (G Copt Latini add αὐτῷ) οἱ Ἰουδαῖοι cum AG Copt Latt .. C om | Νόμον .. C Καὶ γὰρ νόμον | θεραπεῦσαι cum C Copt Latt, item θεραπεύεσθαι G .. A ἐργάζεσθαι | χωλούς (*claudos*) primo loco habent ACG Copt Latt; sed in iis qui sequuntur magna est lectionis varietas: κυρτούς (*gibbosos*) et A et uterque Vaticanus secundo loco habent: ξηρούς plane non habent nisi A, contra reliqui λεπρούς varie positos addunt κωφούς cum A etiam Coptus commemorat, non item reliqui. Secuti igitur in his sumus prae ceteris codicem A (perperam is apud Thil. dicitur χωλοῖς etc habere). Reliqui vero sic: C χωλοὺς καὶ παραλυτικοὺς καὶ τυφλοὺς καὶ κυρτοὺς καὶ λεπροὺς καὶ δαιμονιζομένους: G χωλ. κ. τυφλ. κ. κυρτ. κ. παραλυτ. κ. λεμπροὺς (sic) κ. δαιμονιζομένους: Copt *claudos et leprosos et omnes infirmos et*

βάτῳ ἀπὸ κακῶν πράξεων. λέγει αὐτοῖς ὁ Πιλᾶτος Ποίων κακῶν πράξεων; λέγουσιν αὐτῷ Γόης ἐστίν, καὶ ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια, καὶ πάντα αὐτῷ ὑποτάσσεται. λέγει αὐτοῖς ὁ Πιλᾶτος Τοῦτο οὐκ ἔστιν ἐν πνεύματι ἀκαθάρτῳ ἐκβάλλειν τὰ δαιμόνια, ἀλλ' ἐν θεῷ τῷ Ἀσκληπιῷ.

[2] Λέγουσιν οἱ Ἰουδαῖοι τῷ Πιλάτῳ Ἀξιοῦμεν τὸ σὸν μέγεθος ὥστε αὐτὸν παραστῆναι τῷ βήματί σου καὶ ἀκουσθῆναι. καὶ προσκαλεσάμενος αὐτοὺς ὁ Πιλᾶτος λέγει Εἴπατέ μοι· ὅτι πῶς δύναμαι ἐγὼ ἡγεμὼν ὢν βασιλέα ἐξετάσαι; λέγουσιν αὐτῷ Ἡμεῖς οὐ λέγομεν βασιλέα αὐτὸν εἶναι, ἀλλ' αὐτὸς ἑαυτὸν λέγει. προσκαλεσάμενος δὲ ὁ Πιλᾶτος τὸν κούρσωρα λέγει αὐτῷ Μετὰ

*a daemone vexatos et surdos et mutos:* Eins *claudos et surdos, curvos et paralyticos, coecos et leprosos et daemoniacos:* Vatt *claudos et gibbosos, caecos, paralyticos, leprosos, daemoniosos et lunaticos.* (Ceteros latinos codd. vide ad latinum actorum Pilati textum.) | λέγει αὐτ. ὁ Πιλ. Π. κ. πράξεων; λέγ. αὐτῷ cum G Copt Latt .. AC om | Γόης cum G Latt (Copt om Γόης ἐστ. καί) .. A ὅτι γόης, C καὶ γόης | ἐν (G add τῷ) Βεελζεβ. (G Βελζεβ.) ἄρχ. τ. δαιμ. cum AG Copt Latt .. C ἐν Βεελζ. (omissis ἄρχ. τ. δαιμ.) | καὶ πάντα cum AG .. C κ. τὰ πά. | G om αὐτῷ | Τοῦτο οὐκ ἔστ cum AC Copt Latt .. GE Οὐκ ἔστιν (ἔστι) δυνατόν | ἐν πνεύματι ἀκαθάρτῳ: A om πνεύματι | τὰ (cum GE; C om) δαιμόνια: A om | ἀλλ' ἐν θε. τῷ (ita A; C om) Ἀσκληπιῷ cum AC, item Flor .. Copt et multi codd. lat. *sed in virtute (nomine) dei* .. G (item ut videtur E) om

2. τῷ Πιλάτῳ: G Copt om | τὸ σὸν μέγεθος cum AD Copt Vatt Cors .. CG Eins Fabric τὸ ὑμέτερον μέγεθος, item E τοῦ ὑμετέρου κράτους | ὥστε αὐτ. παραστῆναι (E παρασταθῆναι) τῷ βήμ. σου κ. ἀκουσθ. cum CGE Copt Latt .. D ὥστε αὐτ. παραστῆναι ἐπὶ τοῦ βήματός σου καὶ ἐρωτηθῆναι παρὰ σοῦ .. A ὥστε εἰσελθεῖν σε εἰς τὸ πραιτώριον καὶ ἐρωτῆσαι αὐτόν. ἦν γὰρ ὁ Ἰησοῦς μετὰ τοῦ ὄχλου ἔξω ἑστηκώς. | καὶ προσκαλ. αὐτ. ὁ Πιλ. (A προσκ. δὲ ὁ Πιλ. τοὺς Ἰουδαίους) λέγει (C add αὐτοῖς) Εἴπατέ μοι ὅτι (cum C; AEG om) πῶς δύν. ἐγὼ ἡγ. ὢν (G om) βασιλ. ἐξετάσαι (ἐξετ. cum CEG; A ἐμαυτὸν λέγειν) cum ACEG .. D ἀπεκρίθη ὁ Πιλ. καὶ εἶπε τοῖς Ἰουδαίοις Πῶς δύνασθε (?) τὸν βασιλέα ὑμῶν ἐξετάσαι .. Copt *Respondit Pilatus Dicite mihi, nonne opus erit mittere ducem ad quaerendum regem.* Item Flor Vatt *Advocans ad se Pilatus Iudaeos Dicite mihi, quomodo possum ego dum praeses sum* (Vatt *cum sim praeses*) *regem interrogare* .. plures alii latini codd. haec non habent, neque magis habet textus B actorum. | λέγουσιν αὐτῷ (D add οἱ Ἰουδαῖοι) Ἡμ. οὐ λέγ. βασιλ. αὐτὸν (G αὐτ. βασ.) εἶναι, ἀλλ' αὐτὸς (G om) ἑαυτ. λέγει (D Copt om εἶναι usque λέγει) cum CDEG Copt Flor Vatt .. A (ex omissione eorum quae interposita sunt ortum videtur illud ἐμαυτὸν λέγειν, quod iste codex pro ἐξετάσαι habet) om. Item om codd. lat. multi. | προσκαλ. δὲ (G τότε προσκ., CE καὶ προσκ.) ὁ Πιλ. cum CDEG Flor Eins Fabr; item Vatt *Advocans itaque Pilatus,* et Copt *Quare Pilatus accersivit* .. A προσκαλ. δὲ καί (om ὁ Πιλ.) | τὸν κούρσωρα cum AC (item FH) .. EG κούρσορα, D τινὰ κούρσορα | Μετὰ ἐπιεικ. ἀχθ. ὁ Ἰησ. cum ACEG,

ἐπιεικείας ἀχθήτω ὁ Ἰησοῦς. ἐκβὰς δὲ ὁ κούρσωρ καὶ γνωρίσας αὐτὸν προσεκύνησεν, καὶ λαβὼν τὸ καθάπλωμα τῆς χειρὸς αὐτοῦ ἥπλωσεν χαμαὶ καὶ λέγει αὐτῷ Κύριε, ὧδε περιπάτησον καὶ εἴσελθε, ὅτι καλεῖ σε ὁ ἡγεμών. ἰδόντες δὲ οἱ Ἰουδαῖοι ὃ ἐποίησεν ὁ κούρσωρ, κατέκραξαν τοῦ Πιλάτου λέγοντες Διὰ τί ὑπὸ πραίκωνος αὐτὸν οὐκ ἐκέλευσας εἰσελθεῖν ἀλλ' ὑπὸ κούρσωρος; καὶ γὰρ ὁ κούρσωρ θεασάμενος αὐτὸν προσεκύνησε, καὶ τὸ φακεώλιον αὐτοῦ ἥπλωσε χαμαὶ καὶ ὡς βασιλέα αὐτὸν περιπατῆσαι πεποίηκεν.

3 Ὁ δὲ Πιλᾶτος μετακαλεσάμενος τὸν κούρσωρα λέγει αὐτῷ Τί τοῦτο ἐποίησας, καὶ ἥπλωσας τὸ φακεώλιόν σου ἐπὶ τῆς γῆς καὶ ἐπ' αὐτῷ περιπατῆσαι πεποίηκας τὸν Ἰησοῦν; λέγει

---

item Copt (*Introduc mihi Iesum quieto modo*) et Latt .. D add ὧδε | ἐκβάς cum CD .. AE ἐξελθών | γνωρίσ. αὐτὸν προσεκύνησεν cum A Eins Fabr, item addito αὐτῷ CD .. E Copt γνωρ. τὸν Ἰησοῦν προσεκ. αὐτῷ | καὶ λαβών cum A, item (*tollens*) Vatt Ven; D καὶ ἐκβαλών .. CE καὶ ἔλαβε | τὸ καθάπλωμα (ita A; C κατάπλ.) cum AC .. DE τὸ φακεόλιον, item FH (de utroque vide ad huius sectionis finem) τὸ φακιόλ. Latini *fasciale* | τῆς χειρ. αὐτοῦ cum AC .. D αὐτοῦ .. FH ὃ κατεῖχεν εἰς τὴν χεῖρα αὐτοῦ, item Latini .. E ὃ κατεῖχε κατὰ τὴν τάξιν ἐν τῇ χειρὶ αὐτοῦ | ἥπλωσε χαμαί cum AD et Latinis .. FH ἥπλ. αὐτῷ χαμ., CE καὶ ἥπλωσεν αὐτὸ χαμ. | κ. λέγει (FH εἶπεν) αὐτῷ cum AFH .. C etc κ. λέγ. τῷ Ἰησοῦ | Κύριε .. E add μου | ὧδε περιπ. καὶ εἴσελθε cum C Eins Fabr aliisque latinis codd .. A Vatt add εἰς τὸ πραιτώριον, item E ἐπὶ τοῦ βήματος .. D ἐνταῦθα περιπάτησον .. FH om | ὅτι cum AD Latt .. reliqui om | ὃ ἐποίησεν ὁ κούρσωρ: D add ὅτι προσεκύνησε τὸν Ἰησοῦν καὶ τὸ φακεόλιον αὐτοῦ ἥπλωσε | κατέκραξαν: A ζήλου πλησθέντες κατέκραζον | τοῦ Πιλάτου (C τῷ Πιλάτῳ) .. D αὐτοῦ, sed pergit ἐπὶ τὸν Πιλάτον λέγοντες | Διὰ τί ὑπὸ πραίκωνος (cod. πρέκ.) αὐτ. οὐκ ἐκέλευσας (item E) εἰσελθ. ἀλλ' ὑπὸ κούρσωρος cum A, item Latinis .. C Διὰ τί ὑπὸ πρεσπόκονα (πρεπόκονα? alii πραίκωνα) α. ο. ἐκάλεσας ἐλθεῖν ἀλλ' ὑπὸ κούρσωρα .. D Διὰ τί οὕτως ἐκέλευσας αὐτὸν μετὰ τιμῆς εἰσελθεῖν .. FH om Ἰδόντες δὲ -- ὑπὸ κούρσωρα | καὶ γὰρ ὁ κούρσωρ θεασάμενος -- περιπατῆσαι πεποίηκεν cum A. Similiter E et Latini .. C aliique om

Codices FH, quos passim iam adhibuimus, has duas sectiones sic exhibent: Ἐν ταῖς ἡμέραις ἐκείναις συμβούλιον ποιήσαντες οἱ Ἰουδαῖοι προσῆλθον πρὸς Πιλάτον (hoc accentu uterque codex) τὸν ἡγεμόνα, κρατοῦντες καὶ τὸν Ἰησοῦν, καὶ παρέδωκαν αὐτὸν αὐτῷ. ὁ δὲ ἡγεμὼν παραλαβὼν αὐτὸν κατέκλεισεν, καὶ βουλόμενος αὐτὸν ἀνακρίναι παρόντων καὶ τῶν Ἰουδαίων, ἀπέστειλεν τὸν κούρσωρα αὐτοῦ ἀγαγεῖν αὐτόν. ὁ δὲ κούρσωρ αὐτὸν θεασάμενος προσεκύνησεν αὐτόν, καὶ τὸ φακιόλιον ὃ κατεῖχεν εἰς τὴν χεῖρα αὐτοῦ ἥπλωσεν αὐτῷ χαμαὶ καὶ εἶπεν αὐτῷ Κύριε, καλεῖ σε ὁ ἡγεμών.

3. μετακαλεσάμενος cum CF etc .. A προσκαλ. | καὶ ἥπλωσας τὸ φακεώλ. -- τὸν Ἰησοῦν cum A. Similiter Ven *et honorasti Iesum qui dicitur Christus* ..

αὐτῷ ὁ κούρσωρ Κύριε ἡγεμών, ὅτε με ἀπέστειλας εἰς Ἱεροσόλυμα πρὸς τὸν Ἀλέξανδρον, εἶδον αὐτὸν καθήμενον ἐπὶ ὄνου, καὶ οἱ παῖδες τῶν Ἑβραίων κλάδους κατεῖχον ἐν ταῖς χερσὶν αὐτῶν καὶ ἔκραζον, ἄλλοι δὲ ὑπεστρώννυον τὰ ἱμάτια αὐτῶν λέγοντες Σῶσον δή, ὁ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.

4 Κράζουσιν οἱ Ἰουδαῖοι λέγοντες πρὸς τὸν κούρσωρα Οἱ μὲν παῖδες τῶν Ἑβραίων ἑβραϊστὶ ἔκραζον, πόθεν δὲ σοὶ τὸ ἑλληνιστί; λέγει αὐτοῖς ὁ κούρσωρ Ἠρώτησά τινα τῶν Ἰουδαίων καὶ εἶπα Τί ἐστιν ὃ κράζουσιν ἑβραϊστί; κἀκεῖνός μοι ἑρμήνευσεν. λέγει αὐτοῖς ὁ Πιλᾶτος Πῶς δὲ ἔκραζον ἑβραϊστί; λέγουσιν αὐτῷ οἱ Ἰουδαῖοι Ὡσαννὰ μεμβρομῆ βαρουχαμμᾶ ἀδοναΐ. λέγει αὐτοῖς ὁ Πιλᾶτος Καὶ τὸ Ὡσαννὰ καὶ τὰ λοιπὰ τί ἑρμηνεύεται; λέγουσιν αὐτῷ οἱ Ἰουδαῖοι Σῶσον δή, ὁ ἐν τοῖς ὑψίστοις εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. λέγει αὐτοῖς ὁ Πιλᾶτος

---

CFH etc, item codd. lat. plerique om | Κύριε ἡγεμών cum CDEF .. A Κύριέ μου .. Latini om | ὅτε: F ὅταν | με ἀπέστ. cum A et Latinis .. C etc ἀπέστ. με | εἰς Ἱεροσόλυμα (E εἰς Ἱερουσαλήμ) cum AE .. CDF ἐν Ἱεροσολύμοις .. Vatt *in Ierusalem*, Eins Fabr *de Ierosolyma* | πρ. τὸν (cum A; C etc om) Ἀλέξανδρον .. Vatt Ven om | F ἴδον | καθήμενον cum AF .. C etc καθεζόμενον | ἐπὶ ὄνου (F ὄνον) .. D ἐπὶ πώλου | κλάδους κατεῖχον (F ἐκράτουν κλάδ.) ἐν τ. χ. αὐτ. καὶ ἔκραζον cum EF .. A ἔκραζον ἑβραϊστί, κλάδους ἐν τ. χ. α. κατέχοντες, item D ἔκραζον, καὶ κατέχοντες κλάδ. ἐν τ. χ. αὐτῶν .. C ἔκραζον Ὡσαννά, εὐλογημένος ὁ ἐρχόμενος, κλάδους ἐν τ. χ. α. κατέχοντες. Similiter Eins Fabr; varie differunt alii quos ad latinum actorum textum vide. | ἄλλοι δὲ -- λέγοντες: D haec om | Σῶσον δή, ὁ ἐν τ. ὑψ. cum CF Latt .. A Ὡσαννὰ ἐν τ. ὑψ., D Ὡσαννὰ τῷ υἱῷ Δαυίδ | κυρίου: D τοῦ κυρ.

4. Κράζουσιν οἱ Ἰουδ. λέγοντες πρ. τὸν κούρσωρα (B πρὸς κούρσωροι sic) cum BF Latt .. C λέγουσι δὲ οἱ Ἰουδ. πρ. τ. κούρσωρα .. A καὶ λέγουσιν οἱ Ἰουδ. τῷ κούρσωρι | Οἱ μὲν παῖδ. τ. Ἑβρ. ἑβρ. ἔκραζον cum BCEF Latt .. A Οἱ παῖδες ὡς λέγεις ἑβραϊστὶ ἔκρ. .. D om | πόθεν δὲ (B om) σοὶ τὸ ἑλληνιστί (B τῷ ελινηστῆ, F τὸ ἐληνιστῆ) cum BF .. A σὺ δὲ πόθεν ἔμαθες καὶ ἑρμηνεύεις αὐτὰ ἑλληνιστί .. C (similiter E) πόθεν δὲ σὺ (cod. ἐσοὶ) Ἕλλην (cod. ἔλλους) ὑπάρχων ἴδες (sic; B γινώσκεις) τὸ ἑβραϊστί .. Eins *unde tibi cum sis Graecus Hebraica?* Vatt *unde tibi gentili est hoc nosse?* Similiter alii codices latini. | τῶν Ἰουδαίων cum ABF Latt .. CD τῶν Ἑβραίων | καὶ εἶπα τί ἐστ. ὃ κράζ. ἑβρ. cum BF Eins Vatt Ven (item Fabr, sed addit *pueri* post κράζουσιν); item omisso καὶ εἶπα C .. A γέροντα Τί ἐστ. ὃ κράζ. οἱ παῖδες ἑβραϊστί .. D om | κἀκεῖν. μοι ἑρμήν. (B ἑρμ. μοι, D add πάντα) cum CFBD (omnes hi ἑρμ. non ἡρμ.) Eins Ven .. A καὶ εἰπέ μοι ὅτι τὸ Ὡσαννὰ Σῶσον δὴ ἑρμηνεύεται. Similiter lat. codd. aliquot. | λέγει αὐτ. ὁ Πιλ. Πῶς δὲ (C om) ἔκραζον (B ἔκραζαν sic) ἑβρ. cum BC Eins; similiterque Vatt Ven .. AD om | λέγ αὐτ. οἱ Ἰουδ. (C om οἱ Ἰουδ., item μεμβρ. usque ἀδοναΐ) Ὡσαννά· μεμβρομῆ· βαρουχαμμᾶ· ἀδοναΐ (i. e. fere הושיעה נא במרומים ברוך הבא [בשם] אדני).

Εἰ ὑμεῖς μαρτυρεῖτε τὰς φωνὰς τὰς παρὰ τῶν παίδων λεχθείσας, τί ἥμαρτεν ὁ κούρσωρ; οἱ δὲ ἐσιώπησαν. λέγει ὁ ἡγεμὼν τῷ κούρσωρι Ἔξελθε καὶ οἵῳ βούλει τρόπῳ εἰσάγαγε αὐτόν. ἐκβὰς δὲ ὁ κούρσωρ ἐποίησεν τὸ σχῆμα τὸ πρῶτον καὶ λέγει τῷ Ἰησοῦ Κύριε, εἴσελθε· ὁ ἡγεμών σε καλεῖ.

5 Εἰσελθόντος δὲ τοῦ Ἰησοῦ καὶ τῶν σιγνοφόρων κατεχόντων τὰ σίγνα, ἐκάμφθησαν αἱ προτομαὶ τῶν σίγνων καὶ προσεκύνησαν τῷ Ἰησοῦ. ἰδόντες δὲ οἱ Ἰουδαῖοι τὸ σχῆμα τῶν σίγνων, τὸ πῶς ἐκάμφθησαν καὶ προσεκύνησαν τῷ Ἰησοῦ, περισσῶς ἔκραζον κατὰ τῶν σιγνοφόρων. ὁ δὲ Πιλᾶτος λέγει πρὸς τοὺς Ἰουδαίους Οὐ θαυμάζετε πῶς ἐκάμφθησαν αἱ προτομαὶ καὶ προσεκύνησαν τῷ Ἰησοῦ; λέγουσιν οἱ Ἰουδαῖοι πρὸς Πιλᾶτον Ἡμεῖς εἴδο-

---

λέγει αὐτ. ὁ Πιλ. Καὶ (C om, item καὶ τὰ λοιπ.) τὸ Ὡσ. κ. τὰ λοιπὰ τί ἑρμην.; λέγ. αὐτῷ οἱ Ἰουδ. (C om λέγ. α. οἱ Ἰουδ.) Σῶσ. δή, ὁ ἐν τ. ὑψίστοις· εὐλογημ. ὁ ἐρχόμ. ἐν ὀνόμ. κυρίου (C om ὁ ἐν τοῖς usque κυρίου) cum B; item C, quocum fere faciunt codd. lat. .. AD om | Εἰ (D add οὖν) ὑμεῖς cum ABD, item Vatt Ven .. C om Εἰ, item Eins Fabr | μαρτυρ. τὰς φων. τὰς (B om) παρὰ τ. π. λεχθ. cum BC, item Latt .. D μαρτ. ταῖς φωναῖς ταύταις παρὰ τ. νηπίων. λεχθείσαις .. A μαρτ. καὶ συμφωνεῖτε ταῖς λεχθείσαις φωναῖς τῶν παίδων | ἐσιώπησαν: A add μὴ δυνάμενοι τῷ Πιλάτῳ ὑπὲρ τούτου ἀποκριθῆναι | λέγει ὁ ἡγεμ. τῷ κούρσ. cum CD Eins Fabr .. B Vatt Ven λέγει πάλιν ὁ Πιλάτος τῷ κούρσ. .. A καὶ λέγει τῷ κούρσ. | καὶ οἵῳ βούλ. τρόπ. (B οἵῳ τρ. βούλ., D ὡς βούλῃ) εἰσάγ. αὐτόν (αὐτὸν CD Latt; B τὸν Ἰησοῦν) cum BCD Latt .. A κάλεσον τὸν Ἰησοῦν | ἐκβάς cum BC .. AD ἐξελθών | ὁ κούρσωρ: B add ἐκ τοῦ πραιτωρίου | τὸ σχῆμ. τὸ πρῶτ. cum C (cf. infra I, 6. ubi omnes codd. eundem accusativum habent) .. B τὸ (sic) σχήματι τῷ πρώτῳ (sic prorsus), Eins Fabr *sicut et priori schemate* .. A κατὰ τὸ πρῶτον σχῆμα .. D καθὼς καὶ τὸ πρότερον, item lat. codd. | καὶ λέγει τῷ Ἰησοῦ cum AB Vatt Ven .. C Eins Fabr κ. λέγ. αὐτῷ .. D καὶ ἁπλώσας τὸ φακεόλιον αὐτοῦ χαμαὶ λέγει τῷ Ἰησοῦ | εἴσελθε cum ABD Latt .. C om | ὁ ἡγεμ. σε καλ. (A καλεῖ σε ὁ ἡγ.) cum CDA .. B Latt praem ὅτι

5. καὶ τῶν σιγνοφόρων cum ACD Eins Cors .. B om καί (et habet σιγνωφόρων) | κατεχόντων: B κρατούντων | ἐκάμφθησαν: E ἔκαμψαν | αἱ προτομαὶ (D προτιμαί) τῶν σίγνων cum BCDE (sed BE add ἑαυταῖς) Eins Cors .. A om τ. σίγνων | ἰδόντες δὲ -- τὸ (C om) πῶς ἐκάμφθ. (B add ἑαυταῖς) -- περισσῶς (ita BAD; C περισσοτέρως) ἔκραζ. κ. τ. σιγνοφ. (B ubique σιγνωφ.) cum BC Eins Vatt .. A οἱ δὲ Ἰουδαῖοι περισσῶς ἔκραζον κατὰ τῶν σιγνοφόρων, ὅτι αὐτοὶ θέλοντες ἔκαμψαν τὰς προτομάς (cum prioribus οἱ δὲ -- κατὰ τ. σιγνοφ. consentiunt Ven Fabr, sed reliqua om) .. D Ἄννας δὲ καὶ Καϊάφας καὶ Ἰώσιππος οἱ τρεῖς ψευδομάρτυρες ἤρξαντο περισσῶς κράζειν κατὰ τῶν σιγνοφόρ. | ὁ δὲ Πιλ. λέγει (ita etiam Eins Fabr) .. A λέγει ὁ Πιλ. | πῶς (B τὸ πῶς) ἐκάμφθ. (C αἱ αὐταὶ ἐκάμφθ., B ἐκάμφθ. ἑαυταῖς [scriptum est αἱ αὐταῖς]) αἱ προτομαὶ (cum AB; CD add τῶν σίγνων) cum ABCD .. E πῶς ἑαυτὰς ἔκαμψαν αἱ προτ. τῶν σίγνων | πρὸς Πιλᾶτον: A τῷ Πιλάτῳ | εἴδομεν cum A; item *vidimus*

μεν πῶς ἔκαμψαν οἱ σιγνοφόροι καὶ προσεκύνησαν αὐτῷ. προσκαλεσάμενος δὲ ὁ ἡγεμὼν τοὺς σιγνοφόρους λέγει αὐτοῖς Τί οὕτως ἐποιήσατε; λέγουσιν τῷ Πιλάτῳ· Ἡμεῖς ἄνδρες Ἕλληνές ἐσμεν καὶ ἱερόδουλοι, καὶ πῶς εἴχαμεν προσκυνῆσαι αὐτῷ; καὶ γὰρ κατεχόντων ἡμῶν τὰς προτομὰς ἑαυταῖς ἐκάμφθησαν καὶ προσεκύνησαν αὐτῷ.

6 Λέγει ὁ Πιλᾶτος τοῖς ἀρχισυναγώγοις καὶ τοῖς πρεσβυτέροις τοῦ λαοῦ Ἐκλέξασθε ὑμεῖς ἄνδρας δυνατοὺς καὶ κραταιούς, καὶ αὐτοὶ κατάσχωσιν τὰ σίγνα, καὶ ἴδωμεν εἰ ἑαυτοῖς κάμπτονται. ἐπιλαβόμενοι δὲ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων ἄνδρας δώδεκα κραταιοὺς καὶ δυνατούς, ἀνὰ ἓξ ἐποίησαν κατασχεῖν τὰ σίγνα, καὶ ἐστάθησαν ἔμπροσθεν τοῦ βήματος τοῦ ἡγεμόνος. καὶ λέγει ὁ Πιλᾶτος τῷ κούρσωρι Ἔκβαλε αὐτὸν ἔξω τοῦ πραιτωρίου, καὶ εἰσάγαγε αὐτὸν πάλιν οἵῳ βούλει τρόπῳ. καὶ ἐξ-

---

Latt .. BC οἴδαμεν | πῶς ἔκαμψαν οἱ σιγνοφ. cum BC Eins (item Fabr ut videtur) .. A π. ἔκ. τὰς προτομὰς οἱ σιγν., D π. ἔκ. οἱ σιγν. τὰ σίγνα (ita Vatt *quemadmodum inclinaverunt vultus*) | καὶ προσεκ. τῷ Ἰησοῦ .. A καὶ προσεκ. θελόντων αὐτῶν τῷ Ἰησοῦ .. D om haec usque ad finem sectionis | ὁ ἡγεμών cum AC Eins Fabr .. B Vatt Ven ὁ Πιλάτος | Τί οὕτως cum AB Eins Fabr .. C Vatt Ven Τί τοῦτο | λέγουσιν cum AB Eins .. C add αὐτοί, item *et ipsi* Vatt Ven (Fabr *signiferi*) | τῷ Πιλάτῳ .. A αὐτῷ | Ἕλλην. ἐσμ. κ. ἱεροδ. cum A Latt, item B Ἑλλ. καὶ ἱερόδ. ὄντες .. E ἐσμὲν ἱερόδουλοι .. C Ἕλληνες ὑπάρχομεν | καὶ (B om) πῶς εἴχαμεν (cum B* C, B** E εἴχομεν, A ἔχομεν. Eins Fabr *habuimus*) πρ. αὐτῷ (αὐτῷ cum AB; CE αὐτόν) | κατεχόντων (C κατέχοντας) ἡμῶν τὰς προτ. cum ACE, item B κατ. ἡμ. τὰ σίγνα | ἑαυταῖς ἐκάμφθησαν cum C, item praemisso αἱ προτομαί B .. E αὐταὶ ἑαυτὰς ἔκαμψαν .. A αὗται ὑφ' ἑαυτῶν ἐκάμφθ. | προσεκ. αὐτῷ cum AB .. C om αὐτῷ .. Vat[a] add *eum*, Eins Vat[b] *Iesum*, Fabr neutrum.

6. τοῖς ἀρχισυναγώγοις .. B add αὐτῶν | τοῦ λαοῦ cum B, item Vatt Ven (Eins *plebis ipsorum*) .. C Cors τ. λ. τῶν Ἰουδαίων .. A om | Ἐκλέξασθε (sic) ὑμεῖς cum ABC .. D Ὑμ. ἐκλέξ. | καὶ κραταιούς cum ABDE Vatt Eins Ven .. C Fabr om | καὶ αὐτοί cum ABCE Latt .. D οἵτινες | κατάσχωσιν cum BDE .. A κατασχέτωσαν .. C κατέχουσιν | ἑαυτοῖς cum CE, item αὐτοῖς B .. A αὗται sic .. D om | D κάμποντ. ἢ οὔ | οἱ πρεσβ. τ. Ἰουδ. cum BC etc Vatt Eins Fabr .. A οἱ Ἰουδαῖοι | δώδεκα (B δεκαδύο) .. A post δυνατούς pon | B δυνατ. κ. κρατ. | ἀνὰ ἓξ cum AB .. CE ἀνὰ ἓξ ἕξ. Similiter Eins *senos et senos* | κατασχεῖν cum AC .. BE κατέχειν | ἐστάθησαν cum BC etc, item lat. codd. .. A στῆναι | ἔμπρ. τοῦ βήματος cum B (sic) C etc, item Vatt Ven .. A om τ. βήμ. (Eins Fabr *ante conspectum*) | καὶ λέγει cum BC etc .. A λέγει οὖν | Ἔκβ. αὐτὸν ἔξω τ. πρ. cum BC .. A Vatt Ven Eins Fabr Ἔκβ. τὸν Ἰησοῦν ἔξ. τ. πρ. .. D παραλαβὼν τὸν Ἰησοῦν ἔξελθε τοῦ πρ. | καὶ εἰσάγαγε α. π. οἵῳ β. τρ. cum BC Eins Fabr, item similiter Vatt Ven .. D κ. εἰσάγ. αὐτὸν ὡς βούλῃ ..

ἦλθεν ἔξω τοῦ πραιτωρίου ὁ Ἰησοῦς καὶ ὁ κούρσωρ. καὶ προσκαλεσάμενος ὁ Πιλᾶτος τοὺς πρώην κατέχοντας τὰς προτομὰς λέγει αὐτοῖς· Ὤμοσα κατὰ τῆς σωτηρίας Καίσαρος, ὅτι ἐὰν μὴ καμφθῶσιν τὰ σίγνα εἰσιόντος τοῦ Ἰησοῦ, ἀποτεμῶ τὰς κεφαλὰς ὑμῶν. καὶ ἐκέλευσεν ὁ ἡγεμὼν ἐκ δευτέρου εἰσελθεῖν τὸν Ἰησοῦν. καὶ ἐποίησεν ὁ κούρσωρ τὸ σχῆμα τὸ πρῶτον, καὶ πολλὰ παρεκάλεσε τὸν Ἰησοῦν ἵνα ἐπιβῇ ἐπὶ τοῦ φακεωλίου αὐτοῦ. καὶ ἐπέβη καὶ εἰσῆλθεν. εἰσελθόντος δὲ αὐτοῦ ἐκάμφθησαν πάλιν τὰ σίγνα καὶ προσεκύνησαν τῷ Ἰησοῦ.

## Caput II.

1 Ὁ δὲ Πιλᾶτος ἰδὼν ἔμφοβος γενόμενος ἐζήτησεν ἀναστῆναι ἀπὸ τοῦ βήματος. ἔτι δὲ αὐτοῦ ἐνθυμουμένου ἀναστῆναι,

---

A plane om | καὶ ἐξῆλθεν (CE ἐξελθών) -- καὶ ὁ κούρσ. (haec C om) cum B(C)E, item Eins Fabr Vatt (Ven *exeuntibus autem* etc) .. A om .. D om omnia usque dum sequitur καὶ ἐποίησεν ὁ κούρσωρ | καὶ προσκαλεσάμενος .. C om καί (item E?) | τοὺς πρώην (E τ. πρώτους τοὺς) κατέχ. τὰς προτ. cum BE Vatt Ven Fabr Eins .. A τοὺς Ἰουδαίους τοὺς κατέχοντας τ. προτ. .. C τοὺς κατέχ. τὰς προτ. καὶ τοὺς πρώτους τῶν Ἰουδαίων | λέγει (E καὶ λέγ.) αὐτοῖς Ὤμοσα κατὰ -- ὅτι cum BCE, item Vatt Ven .. A (similiter Eins) ὤμοσεν αὐτοῖς κατὰ -- λέγων ὅτι | κατὰ τῆς σωτηρ. (A add τοῦ) Καίσ. cum AC Latt .. B κατὰ Καίσαρος | μὴ καμφθῶσιν cum B (item E?) Vatt Ven (item Fabr ut videtur) .. AC om μή, item Eins | τὰ σίγνα cum BC .. A αἱ προτομαί | εἰσιόντος cum B; A εἰσελθόντος. Item Latini .. C ἀνελθόντος | ἀποτεμῶ cum A (B ἀποτεμνῶ sic) E, item Latt .. C ἀποτέμνω | B ὑμῶν τὰς κεφ. | καὶ ἐκέλευσεν (B κελεύει) ὁ ἡγεμ. cum AB Latt .. C καὶ καθίσας ὁ ἡγεμ. ἐκέλευσεν | ἐκ δευτ. εἰσελθ. τ. Ἰησ. cum B Vatt Ven .. A εἰσελθ. ἐκ δευτ. τ. Ἰησ. .. C Eins Fabr εἰσελθ. τ. Ἰ. ἐκ δευτ. .. E om ἐκ δευτ. | καὶ ἐποίησεν (E add πάλιν) ὁ κούρσ. .. D τότε ὁ κ. ἐποίησε | τὸ σχῆμα τὸ πρῶτον: ita h. l. ABC, item D τὸ πρότερον σχῆμα (sed Eins Fabr *eodem schemate*) | καὶ πολλά .. D καὶ ἁπλώσας τὸ φακεόλιον αὐτοῦ | παρεκάλεσεν cum ABDE .. C παρεκάλει | τὸν Ἰησοῦν cum BD, item Eins Fabr; item praemisso ὁ κούρσωρ C (similiter Vatt) .. A om | ἵνα ἐπιβῇ ἐπὶ (A om) τοῦ (C τῷ) φακεωλίου (ita A; B φακιολ., CE φακεολ. et quidem C -λίῳ) αὐτοῦ .. D ὅπως περιπατήσῃ δι' αὐτοῦ | D om κ. ἐπέβη κ. εἰσῆλθεν .. A add εἰς τὸ πραιτώριον | αὐτοῦ cum ABC .. D Latt τοῦ Ἰησοῦ | ἐκάμφθησαν πάλιν (A πάλ. ἐκάμφθ.) cum BCA .. D ἔκαμψαν. Item Latt om πάλιν | τὰ σίγνα cum BCD; A αἱ προτομαί .. B add ἑαυτά, C ἑαυτῶν

**II, 1. ἰδὼν cum ABC Latt .. DE om | ἔμφοβος (A praem καί) cum AB DE .. C ἔκθαμβος | ἐζήτησεν (C ἐζήτει) cum B(C) .. A ἐθέλησεν, D ἐβούλετο .. Vatt Ven *voluit*, Eins Fabr *coepit* | ἀπὸ (A om) τοῦ βήματ. cum (A)BC Latt .. D om | ἔτι δὲ αὐτοῦ cum BC etc .. A αὐτοῦ δέ (similiter codd. lat.) |**

ἡ γυνὴ αὐτοῦ ἔπεμψεν πρὸς αὐτὸν λέγουσα Μηδὲν σοὶ καὶ τῷ ἀνθρώπῳ τῷ δικαίῳ τούτῳ· πολλὰ γὰρ ἔπαθον δι᾽ αὐτὸν νυκτός. ὁ δὲ Πιλᾶτος προσκαλεσάμενος τοὺς Ἰουδαίους λέγει αὐτοῖς Οἴδατε ὅτι ἡ γυνή μου θεοσεβής ἐστιν καὶ μᾶλλον ἰουδαΐζει σὺν ὑμῖν. λέγουσιν αὐτῷ Ναί, οἴδαμεν. λέγει αὐτοῖς ὁ Πιλᾶτος Ἰδοὺ ἔπεμψεν ἡ γυνή μου λέγουσα Μηδὲν σοὶ καὶ τῷ ἀνθρώπῳ τῷ δικαίῳ τούτῳ· πολλὰ γὰρ ἔπαθον δι᾽ αὐτὸν νυκτός. ἀποκριθέντες δὲ οἱ Ἰουδαῖοι λέγουσιν τῷ Πιλάτῳ Μὴ οὐκ εἴπαμέν σοι ὅτι γόης ἐστίν; ἰδοὺ ὀνειροπόλημα ἔπεμψε πρὸς τὴν γυναῖκά σου.

2 Ὁ δὲ Πιλᾶτος προσκαλεσάμενος τὸν Ἰησοῦν λέγει αὐτῷ Τί οὗτοί σου καταμαρτυροῦσιν; οὐδὲν λαλεῖς; ὁ δὲ Ἰησοῦς ἔφη Εἰ μὴ εἶχον ἐξουσίαν, οὐδὲν ἂν ἐλαλοῦσαν· εἷς γὰρ ἕκαστος

ἡ γυνὴ αὐτοῦ ἔπεμψ. πρ. αὐτ. (B πρ. τὸν ἡγεμόνα) cum BC, item codd. lat. .. A ἔπεμψ. ἡ γ. α. πρ. αὐτ., item D (et Vatt Ven) ἀπέστειλε πρ. αὐτ. ἡ γ. αὐτ. | καὶ τῷ ἀνθρ. τῷ δικ. τούτῳ cum BC Eins .. AD Vatt Ven Fabr καὶ τῷ δικαίῳ ἐκείνῳ | δι᾽ αὐτὸν νυκτός cum C et praemisso κατ᾽ ὄναρ E .. B δι᾽ αὐτὸν (sic) διὰ τῆς νυκτός .. A δι᾽ αὐτὸν τῇ νυκτὶ ταύτῃ .. D σήμερον κατ᾽ ὄναρ δι᾽ αὐτοῦ ἐν τῇ νυκτὶ ταύτῃ | ὁ δὲ Πιλ. προσκαλ. cum BC Vatt Ven .. A καὶ προσκαλ. .. D Eins Fabr haec om usque ad alterum δι᾽ αὐτὸν νυκτός | τοὺς Ἰουδαίους .. B add ἅπαντας, E πάντας. Item *omnibus Iudaeis* Hal, non item Vatt | λέγ. αὐτοῖς cum AB Latt .. C λέγ. πρὸς αὐτούς | σὺν ὑμῖν .. E om σύν | ὁ Πιλᾶτος cum BC Vatt .. A om | Ἰδοὺ ἔπ. ἡ γ. μ. λέγουσα cum BE Vatt, item post ἡ γ. μ. addito Πρόκλα C .. A αὕτη ἔπεμψε πρός με λέγ. | A Μηδὲν σοὶ καὶ τῷ δικαίῳ ἐκείνῳ, item Vatt Ven | νυκτός .. B διὰ τῆς νυκτός | λέγουσιν τῷ Πιλάτῳ .. A λέγ. αὐτῷ | Μὴ οὐκ cum BC (Eins Fabr *Numquid non*) .. A Μὴ οὖν .. DE om Μή | A εἴπομεν | γόης (cum BCE; A πλάνος; D μάγος; Eins Fabr *maleficus*, Vatt Ven *magus*) ἐστίν cum AB Latt .. CDE add καὶ ἐν (E add τῷ) Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια (C om ἐκβ. τ. δαιμ.) καὶ (C τὰ) πάντα αὐτῷ ὑποτάσσεται (D om καὶ πά. α. ὑποτ.) | ἰδοὺ (B add ὅτι καί) ὀνειροπόλημα (sic enim [cf. Clem. Alex. p. 849.] omnino restituendum videtur pro ὀνηρόπομα, quod in cod. B est; C habet ὀνειρόπεμπτα, E ὄνειρον πεταπόν, D om; Vat Ven *somniorum fantasma*, Eins Fabr *somnium*) ἔπεμψε (D add οὗτος) πρὸς τὴν γυναῖκά σου cum BCDE Latt .. A solus καὶ ὀνείρατα πέμπει.

2. Ὁ δὲ Πιλ. (D Τότε ὁ Πιλ.) προσκ. τ. Ἰησ. λέγ. αὐτῷ cum BCD, item fere Latt .. A Ὁ δὲ Πιλ. λέγει τῷ Ἰησοῦ | Τί οὗτοί (B τί οὗτι, alii videntur τοι pro τί habere, unde Thi edidit Τοιοῦτοι. Sed id confusis ι et οι ortum est) σου καταμάρτ. (B καταμ. σου) cum BCE, item praemisso Οὐκ ἀκούεις D; tum BCE pergunt οὐδὲν λαλεῖς (C λέγεις), D καὶ οὐδένα ἀποκρίνῃ λόγον. Item Vatt Ven *Quid est quod isti adv. te testificantur? et nihil ad eos loqueris?* Similiter Eins Cors Fabr, nisi quod cum D praeponunt *Non (Num) audis (audisti)* .. A Τί οὐ λαλεῖς ὑπὲρ ὧν σου καταμαρτυροῦσιν | ἔφη cum AD; B εἶπεν .. CE ἀπεκρίθη, Latt *respondit (ei)* | εἶχον (B εἶχαν) .. A add οὗτοι | οὐδὲν (B οὐκ) ἂν cum AB .. C etc om ἄν | ἐλαλοῦσαν cum BDE .. AC ἐλάλουν | εἷς γὰρ (*autem*)

ἐξουσίαν ἔχει τοῦ στόματος αὐτοῦ λαλεῖν ἀγαθά τε καὶ πονηρά· αὐτοὶ ὄψονται.

3 Ἀποκριθέντες δὲ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων λέγουσιν τῷ Ἰησοῦ Τί ἡμεῖς ὀψόμεθα; πρῶτον ὅτι ἐκ πορνείας γεγέννησαι· δεύτερον ὅτι ἡ σὴ γένεσις ἐν Βηθλεὲμ νηπίων ἀναίρεσις γέγονεν· τρίτον ὅτι ὁ πατήρ σου Ἰωσὴφ καὶ ἡ μήτηρ σου Μαριὰμ ἔφυγον εἰς Αἴγυπτον διὰ τὸ μὴ ἔχειν αὐτοὺς παρρησίαν ἐν τῷ λαῷ.

4 Λέγουσίν τινες τῶν ἑστηκότων εὐλαβεῖς ἐκ τῶν Ἰουδαίων Ἡμεῖς οὐ λέγομεν αὐτὸν εἶναι ἐκ πορνείας, ἀλλὰ οἴδαμεν ὅτι ἐμνηστεύσατο ὁ Ἰωσὴφ τὴν Μαρίαν, καὶ οὐ γεγέννηται ἐκ πορνείας. λέγει ὁ Πιλᾶτος πρὸς τοὺς Ἰουδαίους τοὺς λέγοντας εἶναι αὐτὸν ἐκ πορνείας Οὗτος ὁ λόγος ὑμῶν οὐκ ἔστιν ἀληθής, ὅτι ὅρμαστρα γέγοναν, καθὰ καὶ αὐτοὶ λέγουσιν οἱ σύνεθνοι ὑμῶν.

---

ἕκαστος cum B, item (εἰ γ. ἕκ.) E et (ἕκαστ. γάρ omisso εἰς) A; item Vatt Ven .. C (et ut videtur etiam D) om γάρ | E τοῦ ἰδίου στόματος | τε καί cum AB .. C etc om τε | αὐτοὶ ὄψ. cum ABDE Latt .. C om

3. οἱ πρεσβύτ. τῶν Ἰουδ. cum BDE Latt .. C οἱ πρ. τοῦ λαοῦ τῶν Ἰουδ... A οἱ Ἰουδαῖοι | BC ὀψώμεθα | πρῶτον: E add μέν | γεγέννησαι cum C etc .. AB ἐγεννήθης | B δεύτερον δέ | ἡ σὴ γένεσις cum CD; item Ven Fabr *pro (in) nativitate tua* .. AB Eins Cors ἡ γέννησίς (*generatio*) σου .. E γεννηθέντος σου | νηπίων .. A om | ἀναίρ. γέγονεν (D ἐγένετο) cum BCDE .. A ἀναίρεσιν εἰργάσατο | Μαριάμ cum A .. BC etc Μαρία | ἔφυγ. εἰς Αἴγ. cum A Latt .. BC etc εἰς Αἴγ. ἔφυγ. | διὰ τὸ -- παρρησίαν (cum AB Latt; C παράκλησιν, E παρουσίαν) -- λαῷ .. D om

4. τῶν ἑστηκότων cum ACE .. D ἐκ τῶν παρεστηκότων .. B ἐκ τῶν ἐπότων (sic) | εὐλαβεῖς ἐκ (C om) τ. Ἰουδ. cum CE .. A ἐκ τῶν εὐλαβῶν Ἰουδαίων .. B Ἰουδαίων ἄνδρες εὐλαβεῖς .. D Ἰουδαίων. Ex Latinis nostram lectionem confirmant codices qui habent *quidam de adstantibus benigni* (Eins et alii *benigne*) *ex Iudaeis*. Iamvero D statim subiungit horum virorum nomina in hunc modum Λάζαρος, Ἀστέριος, Ἀντώνιος, Ἰάκωβος, Ἰωάννης, Σαμουήλ, Ζήρας, Ἰσαὰκ καὶ Φινεές, et pergit οἳ ἐμαρτύρησαν ἐπὶ βήματος Πιλάτου περὶ τοῦ Ἰησοῦ λέγοντες Ἡμεῖς οἴδαμεν ὅτι ἐκ πορνείας οὐ γεγέννηται, ἀλλὰ οἴδαμεν ὅτι ἐμνηστεύσατο ὁ Ἰωσὴφ τὴν Μαρίαν, καὶ οὕτως ἐτέχθη ἐκ πνεύματος ἁγίου. Ea vero quae sequuntur usque ad initium capitis V. omnia omittit. Similis ratio est codicum Vaticanorum latini textus. | Ἡμεῖς οὐ λέγ. αὐτ. εἶναι ἐκ πορν. (B ἐκ π. εἶν.) cum BCE, item Latt .. A Ἡμεῖς οὐκ ἔχομέν τι κατ' αὐτοῦ οὐδὲ λέγομεν αὐτὸν ἐκ πορνείας | ἀλλά: A ἀλλ' | B οἴδαμεν αὐτόν, ἐμνηστεύσατο | ὁ Ἰωσήφ cum ADE .. BC om ὁ | καὶ οὐ γεγ. ἐκ πορν. cum BC Eins Ven (*non ergo* etc) .. A καὶ μόνον· οὐ γεγέννηται δὲ ἐκ πορν. .. E om | λέγει ὁ Πιλ. -- εἶναι αὐτ. (C αὐτ. εἶν.) ἐκ πορν. cum BCE Eins .. A λέγει πρὸς τοὺς λοιποὺς Ἰουδαίους | Οὗτ. ὁ λόγ. -- ἀληθής cum BCE Latt .. A Ἀληθές ἐστι τοῦτο τὸ ῥῆμα (est interrogatio) | ὅρμαστρα γέγοναν (C -νασι) cum BC .. E ὁρμασία γέγονεν .. A ὀνομαστήρια γέγονεν | καθὰ καὶ αὐτοί cum CE .. B καθὰ αὐτοί, A ὡς αὐτοί | λέγ. οἱ σύνεθνοι (C σύνεχθοι, E συνέθνιοι) ὑμῶν cum BCE .. A οἱ

λέγουσιν τῷ Πιλάτῳ Ἄννας καὶ Καϊάφας Ἅπαν τὸ πλῆθος κράζομεν καὶ οὐ πιστευόμεθα ὅτι ἐκ πορνείας γεγέννηται· οὗτοι προσήλυτοί εἰσιν καὶ μαθηταὶ αὐτοῦ. καὶ προσκαλεσάμενος ὁ Πιλᾶτος Ἄνναν καὶ Καϊάφαν λέγει αὐτοῖς Τί ἐστιν προσήλυτοι; λέγουσιν αὐτῷ Ἑλλήνων τέκνα ἐγεννήθησαν, καὶ νῦν γεγόνασιν Ἰουδαῖοι. λέγουσιν οἱ εἰπόντες ὅτι οὐ γεγέννηται ἐκ πορνείας, Λάζαρος, Ἀστέριος, Ἀντώνιος, Ἰάκωβος, Ἀμνής, Ζηρᾶς, Σαμουήλ, Ἰσαάκ, Φινεές, Κρίσπος, Ἀγρίππας καὶ Ἰούδας Ἡμεῖς προσήλυτοι οὐ γεγεννήμεθα, ἀλλὰ τέκνα Ἰουδαίων ἐσμὲν καὶ ἀλήθειαν λαλοῦμεν· καὶ γὰρ εἰς τὰ ὅρμαστρα Ἰωσὴφ καὶ Μαρίας παραγεγόναμεν.

---

σ. ὑ. λέγ. | λέγουσιν τῷ -- Ἅπαν (cum BE Latt; C om) τὸ πλῆθ. κράζομεν (cum B, item Ven *Nos cum omni multitudine dicimus*; E κράζουσι, C Eins κράζει) cum BCE Latt .. A ἀποκριθέντες δὲ Ἄννας καὶ Καϊάφ. λέγουσιν ὡς πρὸς ἅπαν τὸ πλῆθος Λέγομεν | καὶ οὐ πιστευόμεθα cum B .. CE κ. οὐ πιστεύεις, item A sed post ὅ. ἐ. π. γεγέννηται ponit .. Latt plane om | οὗτοι cum ABE .. C αὐτοί. Praeterea B add γάρ, E Latt δέ | προσήλ. εἰσ. καὶ μαθ. αὐτ. cum C Latt .. E πρ. εἰσ. καὶ οἱ ἴδιοι μαθηταί .. B πρ. αὐτοῦ εἰσ. κ. μαθηταί .. A μαθ. αὐτοῦ εἰσὶ καὶ προσήλ. | καὶ προσκαλεσάμενος -- Τί ἐστιν (cum B, item Eins Cors Ven *Quid* [Fabr *Qui*] *sunt proselyti*; CE Καὶ τίς ἐστι) προσήλυτοι (ita B Latt; CE -λυτος) cum BCE Latt .. A om | λέγουσιν αὐτῷ .. A οἱ δὲ λέγουσιν | Ἑλλήν. τέκνα ἐγ. κ. νῦν γεγ. Ἰουδ. cum AB Latt .. CE Ἑλλήνων τέκνων (E -κνα) γεγόνασιν οἱ Ἰουδαῖοι | λέγουσιν οἱ εἰπόντες cum AC Ven .. B λέγ. οἱ Ἰουδαῖοι οἱ εἰπόντες .. E οἱ ἀπεκρίθησαν εἰπόντες | ὅτι οὐ γεγ. ἐκ πορν. cum BCE .. A μὴ γεγεννῆσθαι αὐτὸν ἐκ πορνείας | Λάζαρος (A ὅ τε Λάζαρ καί. Etiam B Latt add καί, non item CDE) Ἀστέριος (Eins aliique add *et*, non Ven) Ἀντώνιος (A Ἄντανος. B Eins Fabr Ven add καί) Ἰάκωβος (B add καί) Ἀμνής (ita B, Ἀμής A, Ἰωάννης D: *Annes* Ven, item codd. lat. alii vel h. l. vel post *Amnes*, *Annes*, *Annas*, *Amenius*. E vero Ἡσαΐας, C εἷς; sed in utroque sequitur Ἄννας. Praeterea B Ven add καί) Ζηρᾶς (cum AD, item Ἀήρας B; CE Ἄννας. Ven *Azaras*, alii *Zaras*, *Zarus*, *Yeras*, *Caras*. Praeterea B Eins Fabr add καί) Σαμουήλ (Ven add *et*) Ἰσαάκ (B Ἰσάκ; A h. l. Ἀγρίπας postque loco Agrippae Ἰσαάκ. Praeterea BE Eins Fabr add καί) Φινεές (B Φιναίος. Ven add *et*) Κρίσπος (ita B; Κρίππος A, Κρίππιος C; Πρίσκος E. Ven *Crispes*, alii *Crispus*, alii *Crippus*. Praeterea B Eins Fabr add καί) Ἀγρίππας (B Ἀγρίππας; A Ἰσαάκ, sed vide ante) καὶ (ita ABE Latt; C om. D post καὶ Φινεές tria nomina reliqua omittit) Ἰούδας. In altera recensione ista nomina sic leguntur: Λάζαρος, Ἀσθάριος, Ἀντώνιος, Ἰάκωβος, Ζαρᾶς, Σαμουήλ, Ἰσαάκ, Φινεές, Κρίσπος, Δάγριππος, Ἀμεσὲ (duo codd. Εὐμεσσέ) καὶ Ἰούδας. | Ἡμεῖς (C praem Καί) πρ. οὐ γεγεννήμεθα (B οὐκ ἐγεννήθημεν), ἀλλὰ -- λαλοῦμεν (ita BE; C λέγομεν) cum BCE Latt .. A Ἡμεῖς μὲν κατ' ἀλήθειαν τέκνα Ἰουδαίων ἐσμέν, καὶ τὴν ἀλήθειαν μαρτυροῦμεν καὶ λέγομεν | καὶ γὰρ ε. τ. ὅρμαστρα (C add αὐτῶν) Ἰωσὴφ καὶ (Latt om Ἰωσ. καί) Μαρ. παραγεγόναμεν (B παραγενόμεθα, E παρεγενόμεθα) cum BCE Latt .. A ὑμεῖς δὲ φθόνῳ πολλῷ κατὰ τοῦ

5 Προσκαλεσάμενος δὲ ὁ Πιλᾶτος τοὺς δώδεκα ἄνδρας τούτους τοὺς εἰπόντας ὅτι οὐ γεγέννηται ἐκ πορνείας, λέγει αὐτοῖς Ὁρκίζω ὑμᾶς κατὰ τῆς σωτηρίας Καίσαρος, εἰ ἀληθῆ εἰσὶν ἃ εἴπατε, ὅτι οὐ γεγέννηται ἐκ πορνείας; λέγουσιν τῷ Πιλάτῳ Ἡμεῖς νόμον ἔχομεν μὴ ὀμνύειν, ὅτι ἁμαρτία ἐστίν· αὐτοὶ δὲ ὀμόσουσιν ὅτι οὐκ ἔστιν καθὼς εἴπαμεν, καὶ ἔνοχοί ἐσμεν θανάτου. λέγει ὁ Πιλᾶτος πρὸς Ἄνναν καὶ Καϊάφαν Οὐδὲν ἀποκρίνεσθε πρὸς ταῦτα; λέγουσιν Ἄννας καὶ Καϊάφας πρὸς Πιλᾶτον Οἱ δώδεκα οὗτοι πιστεύονται ὅτι οὐ γεγέννηται ἐκ πορνείας· ἅπαν τὸ πλῆθος κράζομεν ὅτι ἐκ πορνείας γεγέννηται καὶ γόης ἐστὶν καὶ λέγει ἑαυτὸν υἱὸν θεοῦ καὶ βασιλέα, καὶ οὐ πιστεύομεθα.

6 Καὶ κελεύει ὁ Πιλᾶτος ἅπαν τὸ πλῆθος ἐξελθεῖν ἐκτὸς τῶν δώδεκα ἀνδρῶν τῶν εἰπόντων ὅτι οὐ γεγέννηται ἐκ πορνείας, καὶ τὸν Ἰησοῦν ἐκέλευσε χωρισθῆναι· καὶ λέγει αὐτοῖς ὁ Πιλᾶ-

---

Ἰησοῦ φερόμενοι τὴν ἀλήθειαν ὑπὸ τοῦ ψεύδους καλυφθῆναι βούλεσθε, καὶ διὰ τοῦτο ἀντιμάχεσθε ἡμῖν.

5. Προσκαλ. δὲ (ita B Latt; C Καὶ προσκ.) -- τούτους (cum CE Ven; B Eins om) τοὺς εἰπ. -- λέγει αὐτοῖς cum BCE Latt .. A Γνοὺς δὲ ὁ Πιλ. ὅτι ἀληθῆ εἰσὶ τὰ παρ' αὐτῶν λεγόμενα, λέγει αὐτοῖς | εἰ (A ἵνα εἴπητέ μοι εἰ) ἀληθῆ εἰσὶν (cum AB; C ἀλήθειά ἐστιν, E ἀληθῶς ἐστίν) ἃ (cum AE; B om, sed eo loco aliquot litteras erasas habet) εἴπατε (B add μοι; C om ἃ εἴπατε) ὅτι -- πορν. (A om ὅτι -- πορν.) .. Ven *si verum est, dicite mihi, quoniam* etc; Cors *si vere dixistis quoniam* etc. Cf. text. lat. | λέγουσιν cum BCE .. A Latt add ἐκεῖνοι | Ἡμεῖς cum ABE .. C om | ὅτι ἁμαρτία ἐστίν cum B (sed praemissum habet εἰ καί, ac si librarius aliud scripturus fuisset; cf. C) Latt .. ACE om | αὐτοὶ δὲ (cum BE Ven; A Eins om) ὀμόσουσιν (ita B; ὀμόσωσιν E; ὀμοσάτωσαν A) κατὰ τῆς σωτηρίας Καίσ. (A om κατὰ τ. σ. Κ.) ὅτι -- εἴπαμεν (A εἴπομεν, οὐδὲ εἰς τὰ ὀνομαστήρια παρεγένοντο sic) καὶ ἔν. ἐσμεν θανάτου (A θανάτου ἐσόμεθα) cum BE; A; item Latt .. C εἰ καὶ ὀμόσωμεν, ἔνοχοί ἐσμεν | λέγει ὁ Πιλ. -- Καϊάφαν cum BE Ven .. A ὁ δὲ Ἄννας καὶ Καϊάφας ἐπὶ πολὺ ἐσίγησαν. λέγει αὐτοῖς ὁ Πιλᾶτος .. C om omnia usque dum sequitur καὶ λέγει ἑαυτὸν εἶναι υἱόν .. plures codd. lat. om una cum seqq. Οὐδὲν ἀπ. πρ ταῦτα | λέγουσιν -- πρ. Πιλᾶτον .. A οἱ δὲ εἶπον | Οἱ δώδεκα -- καὶ λέγει ἑαυτὸν (C αὐτὸν εἶναι, vide ante) -- πιστευόμεθα cum BE(C), item codd. lat. aliquot .. A Αὐτοῖς πιστεύεις, καὶ ἡμῖν ἀπιστεῖς ὅτι ἐκ πορν. γεγένν. καὶ ὅτι πλάνος ἐστὶ καὶ λέγει ἑαυτὸν υἱὸν θεοῦ καὶ βασιλέα, καὶ οὐ πιστευόμεθα.

6. Καὶ (cum B Ven, alii Latini *ergo*; E Τότε; C om) κελεύει (cum B: CE ἐκέλευσεν; Latini *iubens*, *iussit*) ὁ Πιλᾶτος .. A Τότε ὁ Πιλ. θυμοῦ μεγάλου πλησθεὶς ἐκέλευσε | ἅπαν (A om) τὸ πλῆθος (A add ἔξω) ἐξελθεῖν | ἐκτὸς τῶν (C ἐκ τούτων) ἀνδρῶν -- χωρισθῆναι (cum CE Latt; B ἐξελθεῖν) καὶ λέγ. α. ὁ Πιλ. (Latini praeter Ven om ὁ Πιλ.) cum BCE Latt .. A καταλείψας δὲ μόνους

τος Ποίῳ λόγῳ θέλουσιν αὐτὸν ἀποκτεῖναι; λέγουσιν αὐτῷ Ζῆλον ἔχουσιν, ὅτι ἐν σαββάτῳ θεραπεύει. λέγει ὁ Πιλᾶτος Περὶ καλοῦ ἔργου θέλουσιν αὐτὸν ἀποκτεῖναι; λέγουσιν αὐτῷ Ναί.

## Caput III.

1 Καὶ θυμοῦ πλησθεὶς ὁ Πιλᾶτος ἐξῆλθεν ἔξω τοῦ πραιτωρίου καὶ λέγει αὐτοῖς Μάρτυρα ἔχω τὸν ἥλιον ὅτι οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν τῷ ἀνθρώπῳ τούτῳ. ἀπεκρίθησαν οἱ Ἰουδαῖοι καὶ εἶπαν τῷ ἡγεμόνι Εἰ μὴ ἦν οὗτος κακοποιός, οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν. εἶπεν δὲ ὁ Πιλᾶτος Λάβετε αὐτὸν ὑμεῖς καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτόν. εἶπαν οἱ Ἰουδαῖοι τῷ Πιλάτῳ Ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι οὐδένα. εἶπεν ὁ Πιλᾶτος Ὑμῖν εἶπεν ὁ θεὸς μὴ ἀποκτεῖναι, ἀλλ' ἐμοί;

2 Καὶ εἰσῆλθεν πάλιν εἰς τὸ πραιτώριον ὁ Πιλᾶτος καὶ ἐφώνησεν τὸν Ἰησοῦν κατ' ἰδίαν καὶ εἶπεν αὐτῷ Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; ἀπεκρίθη ὁ Ἰησοῦς τῷ Πιλάτῳ Ἀφ' ἑαυτοῦ

---

τοὺς δώδεκα τοὺς εἰπόντας μὴ γεγεννῆσθαι τὸν Ἰησοῦν ἐκ πορνείας, καὶ διαστήσας τὸν Ἰησοῦν ἀπ' αὐτῶν λέγει αὐτοῖς | Ποίῳ (A praem Εἴπατέ μοι) λόγ. θέλουσιν (A θέλωσιν) αὐτ. ἀποκτ. cum (A)CE Latt .. B Περὶ ποίου ἔργου βούλονται αὐτ. ἀποκτ. | λέγουσιν αὐτῷ cum CE, item Latt .. AB λέγουσιν (A add οἱ δεκαδύο) τῷ Πιλάτῳ | Ζῆλον (A add μέγαν) ἔχουσιν .. B om | ὅτι ἐν σαββ. θεραπεύει .. A add τοὺς προσερχομένους αὐτῷ | λέγει (B add αὐτοῖς) ὁ Πιλ. | Περὶ καλοῦ (cum BC Latt; E add οὖν) ἔργου .. A Διὰ καλὸν ἔργον | θέλουσιν αὐτὸν (B add λοιπὸν) ἀποκτεῖναι (A ἀπ. αὐτ.); λέγουσιν (ita E Eins Fabr; B praem καί, A οἱ δέ) αὐτῷ (A om) Ναί (A add διὰ καλόν) .. C haec male om; Ven om λέγουσιν αὐτ. Ναί.

III, 1. Καὶ θυμοῦ cum BC .. A Θυμοῦ δέ .. E Ven Τότε θυμοῦ .. Eins Θυμοῦ | λέγει αὐτοῖς cum BCE Ven Eins .. A Fabr λέγ. τοῖς Ἰουδαίοις | B οὔτε μίαν | τούτῳ .. A add καὶ τί βούλεσθε αὐτὸν ἀποκτανθῆναι | καὶ εἶπαν (ita B; C κ. εἶπον; A Ven Fabr [non Eins] plane om) τῷ ἡγεμόνι (cum AC Eins Ven; B Fabr τῷ Πιλάτῳ) .. E om | B παρεδώκ. σοι αὐτ. | εἶπεν δέ cum ACE .. B Latt εἶπεν δὲ αὐτοῖς | B om ὑμεῖς καὶ κατὰ -- κρίν. αὐτόν | εἶπαν (ita BC) οἱ Ἰουδ. τῷ Πιλάτῳ .. A λέγουσιν οἱ Ἰουδαῖοι (etiam Ven om τ. Πιλ.) | Ἡμῖν (A post ἔξεστ.) οὐκ ἔξεστιν (C ἔστιν) | εἶπεν ὁ Πιλ. (ita B; Ven *dicit illis Pilatus*; C εἶπ. δὲ ὁ Πιλ. πρὸς τοὺς Ἰουδαίους, Eins *dicit Pil. Iudaeis*) Ὑμῖν (C Οὐχ ὑμῖν) εἶπ. ὁ θε. μὴ (C τοῦ) ἀπ., ἀλλ' ἐμοί cum BCE Latt .. A om

2. Καὶ εἰσῆλθεν (ita AB Fabr; C Ven Eins εἰσελθών) πάλιν (C post πραιτώριον, A om) εἰς τὸ πρ. ὁ Πιλ. καὶ (C Ven Eins om) ἐφώνησεν (ita AC; B ἐκάλεσεν) τ. Ἰ. κατ' (B καθ') ἰδ. κ. εἶπ. αὐτῷ .. E καὶ ἀναστὰς ἀπὸ τοῦ βήματος εἰσῆλθεν εἰς τὸ πρ. παραλαβὼν καὶ τὸν Ἰησοῦν· καὶ λαβὼν αὐτὸν κατ' ἰδ. εἶπεν αὐτῷ | ὁ βασιλεύς cum ABE .. C om ὁ | ἀπεκρίθη ὁ Ἰησ. τῷ Πιλ. cum CE Ven, etiam Eins Fabr; item B additis his καὶ λέγει αὐτῷ .. A ἀπεκρ. αὐτῷ ὁ Ἰησοῦς | Ἀφ'

σὺ τοῦτο λαλεῖς, ἢ ἄλλοι σοι εἶπον περὶ ἐμοῦ; ἀπεκρίθη ὁ Πιλᾶτος πρὸς τὸν Ἰησοῦν Μήτι κἀγὼ Ἰουδαῖός εἰμι; τὸ ἔθνος τὸ σὸν καὶ οἱ ἀρχιερεῖς παρέδωκάν σε ἐμοί· τί ἐποίησας; ἀπεκρίθη Ἰησοῦς Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου· εἰ γὰρ ἐκ τοῦ κόσμου τούτου ἦν ἡ βασιλεία ἡ ἐμή, οἱ ὑπηρέται ἂν οἱ ἐμοὶ ἠγωνίζοντο ἵνα μὴ παραδοθῶ τοῖς Ἰουδαίοις· νυνὶ δὲ ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν. εἶπεν αὐτῷ ὁ Πιλᾶτος Οὐκοῦν βασιλεὺς εἶ σύ; ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς Σὺ λέγεις, ὅτι βασιλεύς εἰμι ἐγώ· εἰς τοῦτο γὰρ γεγέννημαι καὶ ἐλήλυθα ἵνα πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας ἀκούσῃ μου τῆς φωνῆς. λέγει αὐτῷ ὁ Πιλᾶτος Τί ἐστιν ἀλήθεια; λέγει αὐτῷ ὁ Ἰησοῦς Ἀλήθεια ἐξ οὐρανοῦ. λέγει ὁ Πιλᾶτος Ἐπὶ γῆς ἀλήθεια οὐκ ἔστιν; λέγει ὁ Ἰησοῦς τῷ Πιλάτῳ Ὁρᾷς, οἱ τὴν ἀλήθειαν λέγοντες πῶς κρίνονται ἀπὸ τῶν ἐχόντων τὴν ἐξουσίαν ἐπὶ γῆς.

## CAPUT IV.

1 Καὶ καταλείπων τὸν Ἰησοῦν ἔσω τοῦ πραιτωρίου ἐξῆλθεν

---

ἑαυτοῦ cum BCE .. A Ἀπὸ σεαυτοῦ | σύ cum AB .. C (et ut videtur E) om | λαλεῖς cum C .. A (ante τοῦτο ponit) BE λέγεις | σοι εἶπον cum ACE .. B εἴπασίν σοι | ἀπεκρίθη ὁ Πιλ. πρ. τ. Ἰησοῦν cum B (Ven *respondit Pil.*, Eins *respondens Pil. dixit ad Iesum*) .. C ἀπ. ὁ Π. πρ. τ. θεὸν καὶ εἶπεν αὐτῷ .. A ἀπεκρ. ὁ Πιλ. καὶ εἶπε .. E λέγει αὐτῷ ὁ Πιλ. | Μήτι .. E Μή | κἀγώ cum BE .. AC ἐγώ | ἀπεκρ. Ἰησ. cum CE .. AB ἀπεκρ. ὁ Ἰησ., et B add καὶ εἶπεν | εἰ γάρ cum CE .. AB Latt om γάρ | ἡ (C om) βασ. ἡ ἐμή h. l. cum BE Latt .. C post εἰ γάρ .. A om | ἂν οἱ ἐμοί cum AE .. B οἱ ἐμ. ἄν .. C om ἄν | νυνὶ (A νῦν) δέ cum ACE Ven Eins Fabr .. B Cors νῦν οὖν | εἶπεν (A λέγει) α. ὁ Πιλ. cum AB Latt .. C (et E ?) praem καί | ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς .. A male om | εἰμὶ ἐγώ· εἰς τοῦτο γὰρ γεγένν. καὶ ἐλήλυθα cum CE (item Ven *sum ego. Ego enim in hoc* etc) .. A εἰμι· ἐγὼ γὰρ εἰς τοῦτο ἐλήλυθα καὶ εἰς τοῦτο γεγένν. .. B (item codd. lat. vel omissis vel additis εἰς τ. κόσμ.) εἰμὶ ἐγώ. λέγει ὁ Ἰησοῦς τῷ Πιλάτῳ πάλιν Ἐγὼ εἰς τοῦτο γεγένν. καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον | ἵνα πᾶς cum BCE .. A Latt ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ, ἵνα πᾶς (Latt *et* [Ven om] *omnis* – – *audit* – –) | ἀκούσῃ (B -σει) cum AB .. CE ἀκούῃ | B τῆς φων. μου | λέγει αὐτῷ (cum BCE; A om; Ven *autem*) ὁ Πιλ. | ἀλήθεια: ita etiam A absque articulo | λέγει αὐτῷ (Latt om) ὁ Ἰησ. Ἀλήθ. ἐξ οὐρ. (E add ἐστίν, item Latt). λέγει (E add αὐτῷ) ὁ Πιλ. Ἐπὶ (E add τῆς) γῆς ἀλ. οὐκ ἔστιν cum BE Eins Fabr Cors, similiterque Ven .. AC om | λέγει ὁ Ἰ. τῷ Πιλ. (A Ven om τῷ Πιλ.) Ὁρᾷς (E Ἄρα. AE Ven add ὅτι) οἱ τ. ἀλ. λέγ. πῶς (ita B Eins: AE Ven om) κρίν. ἀπὸ (E παρὰ) τ. ἐχόντ. τ. ἐξ. ἐπὶ (E add τῆς) γῆς (ἀπὸ – – γῆς cum BE Eins Ven; lat. reliquos vide ad text. lat.; A vero ὑπὸ τῆς τῶν ἀρχόντων ἐξουσίας ἐπὶ τῆς γῆς) cum ABE Latt .. C om

IV, 1. Καὶ (Eins om) καταλείπων (B -λειπών) cum BCE (Eins) .. A Ven Cors Fabr Καταλιπὼν (*relinquens*) τοίνυν | τὸν Ἰησ. ἔσω τοῦ πραιτ. (ita B:

ὁ Πιλᾶτος πρὸς τοὺς Ἰουδαίους καὶ λέγει αὐτοῖς Ἐγὼ οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ. λέγουσιν αὐτῷ οἱ Ἰουδαῖοι Οὗτος εἶπεν Δύναμαι τὸν ναὸν τοῦτον καταλῦσαι καὶ διὰ τριῶν ἡμερῶν οἰκοδομῆσαι αὐτόν. λέγει ὁ Πιλᾶτος Ποῖον ναόν; λέγουσιν οἱ Ἰουδαῖοι Ὃν οἰκοδόμησεν ὁ Σολομὼν ἐν τεσσαράκοντα καὶ ἓξ ἔτεσιν, οὗτος δὲ λέγει λύειν καὶ οἰκοδομεῖν αὐτὸν διὰ τριῶν ἡμερῶν. λέγει αὐτοῖς ὁ Πιλᾶτος Ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ ἀνθρώπου τοῦ δικαίου τούτου· ὑμεῖς ὄψεσθε. λέγουσιν οἱ Ἰουδαῖοι Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν.

2 Προσκαλεσάμενος δὲ ὁ Πιλᾶτος τοὺς πρεσβυτέρους καὶ ἱερεῖς καὶ Λευίτας εἶπεν αὐτοῖς λαθραίως Μὴ οὕτως ποιήσατε· οὐδὲν γάρ ἐστιν ὃ κατηγορήσατε αὐτοῦ ἄξιον θανάτου· ἡ γὰρ κατηγορία ὑμῶν περὶ θεραπείας ἐστὶν καὶ βεβηλώσεως σαββάτου. λέγουσιν οἱ πρεσβύτεροι καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται Κατὰ Καί-

---

A ἐν τῷ πραιτωρίῳ, E εἰς τὸ πραιτώριον; Latt *intus praetorium*, *in praetorium*, *in praetorio*) ἐξῆλθ. ὁ Πιλ. (h. l. B; reliqui varie transpon) cum BAE Latt .. C ὁ Πιλ. τὸν Ἰησ. ἔξω τοῦ πραιτ. ἐξῆλθεν | ἐν αὐτῷ cum BCE Eins Cors Ven .. A ἐν τῷ ἀνθρώπῳ τούτῳ .. Fabr *in Iesum* | λέγουσιν αὐτῷ (A om) οἱ Ἰουδ. | Οὗτος εἶπεν Δύν. τὸν να. τ. καταλ. (ita AB Eins; E Ven Cors Fabr καταλ. τ. να. τ.) καὶ διὰ τρ. ἡμερ. (ita AE; B ἐν τρισὶν ἡμέραις) οἰκοδομῆσαι (ita A, B ἐγεῖραι, item Latt: E οἰκοδομήσω) αὐτόν. λέγει (ita AE; B Latt add αὐτοῖς) ὁ Πιλ. -- λέγουσιν (ita AB; E Latt add αὐτοῖς) οἱ Ἰουδ. cum ABE Latt .. C om (transiliendo ab altero λέγουσιν [αὐτῷ] οἱ Ἰουδ. ad alterum) | οἰκοδόμησεν cum B .. AC ᾠκοδόμ. | ὁ Σολομών .. A om ὁ | οὗτος δέ cum ACE .. B αὐτός .. Latt *et iste*, *ipse* | λέγει .. A εἶπε | λύειν (CE καταλῦσαι; B add αὐτόν) καὶ οἰκοδομεῖν (CE -ῆσαι) αὐτὸν διὰ τριῶν ἡμερῶν (B πάλιν pro αὐτ. δ. τρ. ἡμ.): ad haec A add πάλιν λέγει ὁ Πιλᾶτος Καὶ διὰ τοῦτο θέλετε ἀποκτανθῆναι αὐτόν; οἱ δὲ λέγουσιν αὐτῷ Ναί. | λέγει αὐτ. ὁ Πιλ. cum B Ven .. A ὁ δὲ Πιλ φησίν .. CE πάλιν λέγει ὁ Πιλ. αὐτοῖς, item Eins Fabr *et iterum dicit eis Pil.* | Ἀθῷός εἰμι .. B add κἀγώ, Latt *ego* (Ven ante ἀθῷος habet) | τοῦ ἀνθρώπου cum BE Eins Fabr .. AC Ven om | τοῦ δικαίου τούτου .. E Eins Fabr om τ. δικ. | λέγουσιν .. B Eins Fabr add αὐτῷ, non ACE Ven

2. Προσκ. δέ cum BE Ven Eins Fabr .. A Καὶ προσκ. .. C Προσκ. | A om ὁ Πιλ. | καὶ (B add τοὺς) ἱερεῖς .. A ἱερεῖς τε | λαθραίως (B λάθρα) cum BCE Latt .. A om | A Μὴ οὕτω ποιεῖτε | οὐδὲν -- θανάτου cum B .. CE οὐδὲν (E οὐδὲ) γὰρ κατηγορεῖτε (E κατηγορήσειτε sic) αὐτὸν (ita C, E ἄξιον) θανάτου .. A οὐδεμία γὰρ κατηγορία θανάτου ὑπάρχει ἐν αὐτῷ .. Latt libere | περὶ θεραπείας ἐστὶν (h. l. B; C post σαββ.) καὶ βεβηλ. σαββάτου (ita BE; C σαββάτων) .. A περὶ θερ. νοσούντων καὶ περὶ βεβηλώσεως σαββάτου ἐστί | λέγ. οἱ πρεσβ. (ita B Latt; C add τοῦ λαοῦ) κ. οἱ ἱερεῖς καὶ οἱ (C om) Λευῖται τῷ Πιλ. cum BC Latt .. A λέγουσι τῷ Πιλάτῳ .. E λέγουσιν οἱ Ἰουδαῖοι | Κατὰ Καίσαρος ἐάν τις βλασφημήσῃ (B -μήσει) -- λέγει ὁ Πιλ. Ἄξ. ἐστ. θανάτου

σαρος ἐάν τις βλασφημήσῃ, ἄξιος θανάτου ἐστὶν ἢ οὔ; λέγει ὁ Πιλᾶτος Ἄξιός ἐστιν θανάτου. λέγουσιν οἱ Ἰουδαῖοι τῷ Πιλάτῳ Εἰ εἰς Καίσαρα ἐάν τις βλασφημήσῃ, ἄξιός ἐστι θανάτου, οὗτος δὲ κατὰ τοῦ θεοῦ ἐβλασφήμησεν.

3 Ἐκέλευσε δὲ ὁ ἡγεμὼν ἐξελθεῖν τοὺς Ἰουδαίους ἔξω τοῦ πραιτωρίου, καὶ προσκαλεσάμενος τὸν Ἰησοῦν λέγει αὐτῷ Τί ποιήσω σοι; λέγει ὁ Ἰησοῦς τῷ Πιλάτῳ Ὡς ἐδόθη σοι. λέγει ὁ Πιλᾶτος Πῶς ἐδόθη; λέγει ὁ Ἰησοῦς Μωυσῆς καὶ οἱ προφῆται προεκήρυξαν περὶ τοῦ θανάτου μου καὶ τῆς ἀναστάσεως. παριστορήσαντες δὲ οἱ Ἰουδαῖοι καὶ ἀκούσαντες λέγουσιν τῷ Πιλάτῳ Τί πλεῖον ἔχεις ἀκοῦσαι τῆς βλασφημίας ταύτης; λέγει ὁ Πιλᾶτος τοῖς Ἰουδαίοις Εἰ οὗτος ὁ λόγος βλάσφημός ἐστιν, περὶ τῆς βλασφημίας λάβετε αὐτὸν ὑμεῖς καὶ ἀπαγάγετε εἰς τὴν συναγωγὴν ὑμῶν, καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτόν.

---

cum CE Ven .. B a verbis βλασφημήσει, ἄξ. θαν. ἐστίν (sic) transit ad eadem verba quemadmodum subsequuntur, assentientibus Eins Fabr aliisque, ita ut quae interposita sunt, ἢ οὔ usque ad ἄξιός ἐστ. θανάτου, omittantur .. A Κατὰ Καίσ. ἐὰν βλασφ. τις, τίνος ἄξιός ἐστιν; ὁ δὲ λέγει Θανάτου. | Λέγουσιν οἱ Ἰ. τῷ Πιλάτῳ .. haec A male om | Εἰ εἰς Καίσαρα -- ἐβλασφήμησεν cum CE; item prioribus omissis Ven *quanto magis hic qui deum blasphemaverit dignus est mori* .. A' Καὶ εἰ θανάτου ἄξιός ἐστιν ὁ κατὰ Καίσαρος βλασφημήσας, πῶς (sic) οὗτος οὐκ ἀποκτανθήσεται κατὰ θεοῦ βλασφημήσας .. B cum pluribus Latinis nil nisi (vide ante) οὗτος δὲ κατὰ θεοῦ ἐβλασφήμησεν

3. Ἐκέλευσε δέ cum A Eins aliisque .. B καὶ ἐκέλευσεν .. C Ven τότε ἐκέλευσεν | C om τοὺς Ἰουδαίους | ἔξω .. B ἐκ | καὶ προσκαλεσ. (C om) τὸν Ἰησ. (C add καὶ) λέγει αὐτῷ cum (C)E Ven Fabr .. B Eins κ. προσκ. τ. Ἰ. ὁ Πιλᾶτος εἶπεν αὐτῷ .. A καὶ λέγει τῷ Ἰησοῦ | A om τῷ Πιλάτῳ | ὡς (sed CE οὕτως) ἐδόθη (C ἐδόσθω vitiose) cum CE, item *Sicut datum* (Fabr *dictum*) *est* Eins Ven Fabr .. B οὕτως ἐδόθη σοι .. A ἐξουσία ἐδόθη σοι ἐπ' ἐμοί (sic) | λέγει ὁ Πιλ. Πῶς (B add οὕτως) ἐδόθη (B add μοι) cum A(B), item Eins Fabr Ven *Dicit* (*ei*) *Pilatus Quomodo* (Ven add *sicut*) *datum* (Fabr *dictum*) *est* .. C om | λέγει (A φησίν, B add αὐτῷ) ὁ Ἰησοῦς | Μωυσῆς: ita AB .. C Μωσῆς | προεκήρυξαν cum CE Eins Fabr Cors .. AB ἐκήρυξαν, item Ven *annunciaverunt* | μου καὶ τῆς ἀναστ. cum CE .. AB μου (A om) καὶ τ. ἀν. μου | παριστορήσαντες (cum B παραστορήσαντες, et C περιστωρήσαντες. A παρατηρήσαντες) δὲ οἱ (B om) Ἰουδ. καὶ (B** om) ἀκούσαντες cum BCA .. E ἀκούσαντες δὲ ταῦτα οἱ Ἰουδαῖοι, similiterque Latt | Τί πλ. ἔχ. ἀκ. (C add περὶ) τῆς βλ. ταύτ. cum CE; Ven *quid amplius desideras audire blasfemiam* .. Fabr Eins *quid amplius* (Eins add *ab hoc*) *vis blasphemiam istius* (Eins om?) *audire* .. A τί τούτου πλέον θέλεις καὶ μεῖζον τῆς βλασφημίας ταύτης ἀκοῦσαι .. B τί πλέων καὶ μείζονα τούτου θέλεις τῆς βλασφ. ἀκοῦσαι ταύτης | τοῖς Ἰουδαίοις .. A Ven om .. Eins aliique *eis* | περὶ τῆς βλασφημίας cum BC .. AE Latt om | ἀπαγάγετε .. B

λέγουσιν οἱ Ἰουδαῖοι τῷ Πιλάτῳ Ὁ νόμος ἡμῶν περιέχει, ἄν-
θρωπος εἰς ἄνθρωπον ἐὰν ἁμαρτήσῃ, ἄξιός ἐστιν λαμβάνειν τεσ-
σαράκοντα παρὰ μίαν· ὁ δὲ εἰς θεὸν βλασφημῶν, λιθοβολίᾳ λι-
θοβολεῖσθαι αὐτόν.
4 Λέγει αὐτοῖς ὁ Πιλᾶτος Λάβετε αὐτὸν ὑμεῖς καὶ οἵῳ βού-
λεσθε τρόπῳ ἀμύνασθε αὐτόν. λέγουσιν οἱ Ἰουδαῖοι τῷ Πιλάτῳ
Ἡμεῖς βουλόμεθα ἵνα σταυρωθῇ. λέγει ὁ Πιλᾶτος Οὐκ ἔστιν
ἄξιος σταυρωθῆναι.
5 Περιβλεψάμενος δὲ ὁ ἡγεμὼν εἰς τοὺς περιεστῶτας ὄχλους
τῶν Ἰουδαίων, θεωρεῖ πολλοὺς δακρύοντας τῶν Ἰουδαίων καὶ λέ-
γει Οὐ πᾶν τὸ πλῆθος βούλεται αὐτὸν ἀποθανεῖν. λέγουσιν οἱ
πρεσβύτεροι τῶν Ἰουδαίων Διὰ τοῦτο ἤλθαμεν ἅπαν τὸ πλῆθος
ἵνα ἀποθάνῃ. λέγει ὁ Πιλᾶτος τοῖς Ἰουδαίοις Ἵνα τί ἀποθάνῃ;
λέγουσιν οἱ Ἰουδαῖοι Ὅτι εἶπεν αὐτὸν υἱὸν θεοῦ καὶ βασιλέα.

## CAPUT V.

1 Νικόδημος δέ τις ἀνὴρ Ἰουδαῖος ἔστη ἔμπροσθεν τοῦ ἡγε-

---

add αὐτόν | ἄνϑρωπ. εἰς ἄνϑρ. ἐὰν ἁμαρτ. (A ἐὰν ἁμ. ἄνϑρ. εἰς ἄνϑρ.) cum ACE .. B ἄνϑρ. ἐὰν ἁμάρτῃ | τεσσαρ. παρὰ μίαν cum AB .. CE παρὰ μίαν πληγὰς τεσσαρ. (C μ̄) | ὁ δὲ εἰς ϑεὸν βλασφημῶν λιϑοβολίᾳ (cod. -λίαν) λιϑοβολ. αὐτόν cum B, similiterque latinus codex habet .. EA ὁ δὲ ε. ϑ. ἁμαρτήσας (A ἁμαρτὼν) λιϑοβοληϑήσεται .. C εἰ δὲ εἰς ϑεόν, λιϑοβολείσϑω

4. καὶ οἵῳ βούλεσϑε τρόπῳ .. B καὶ κατὰ τὸν νόμον ὑμῶν ᾧ ἐὰν βούλεσϑε τρόπῳ .. latinus codex *et secundum legem vestram* | ἀμύνασϑε αὐτόν .. B ἀμ. αὐτῷ | λέγ. οἱ (B om) Ἰουδ. τῷ Πιλ. (A om τ. Πιλ) | λέγει (B add αὐτοῖς) ὁ Πιλ. | σταυρωϑῆναι cum B; item praemisso τοῦ C .. A ϑανάτου

5. Περιβλεψ. δέ cum C (et E?) Latt .. AB καὶ περιβλ. | ὁ ἡγεμὼν cum B Latt .. C ὁ Πιλᾶτος .. A om | εἰς (E om) τ. περιεστ. ὄχλ. τ. Ἰουδ. ϑεωρεῖ π. δ. τ. Ἰουδ. cum BCE Latt .. A ϑεωρεῖ ἐκ τῶν περιεστώτων πολλοὺς δακρύοντας | καὶ λέγει cum CE Eins Ven .. AB Cors add αὐτοῖς, Fabr add *ad principes sacerdotum Iudaeorum* | Οὐ (E Μὰ τὸν ἥλιον, οὐ) πᾶν -- αὐτὸν (C om) ἀποϑανεῖν cum BCE Latt .. A Βούλεσϑε καὶ ὑμεῖς ἀποκτανϑῆναι αὐτόν; οἱ δὲ εἶπον Οὐ βουλόμεϑα, ὅτι αἰτίαν οὐχ εὑρίσκομεν | οἱ πρεσβ. τῶν Ἰουδαίων cum CE Fabr et (addito *Pilato*) Ven .. AB Eins om τῶν Ἰουδ. sed add τῷ Πιλάτῳ (A Eins πρὸς Πιλᾶτον) | A ἤλϑομεν πάντες ἵνα | λέγει ὁ Πιλ. τ. Ἰουδαίοις (τ. Ἰουδ. cum B Eins Cors; A om; Fabr *ad eos*) Ἵνα τί (ita B; A Διὰ τί ἵνα) ἀποϑάνῃ cum AB Eins Cors Fabr .. C Ven om, item E una cum seqq. λέγουσιν οἱ Ἰουδ. | λέγουσιν οἱ (B om) Ἰουδ. | εἶπεν cum ABC .. E λέγει | αὐτόν cum BC .. AE ἑαυτόν | βασιλέα .. E add εἶναι (Latt post υἱὸν ϑεοῦ add)

V, 1. B om ἀνήρ | ἔστη .. CE ἐστιν | ἔμπρ. τοῦ ἡγεμόνος cum DE Latt ..

μόνος καὶ λέγει Ἀξιῶ, εὐσεβή, κέλευσόν μοι εἰπεῖν ὀλίγους λόγους. λέγει ὁ Πιλᾶτος Εἰπέ. λέγει ὁ Νικόδημος Ἐγὼ εἶπον τοῖς πρεσβυτέροις καὶ τοῖς ἱερεῦσι καὶ Λευίταις καὶ παντὶ τῷ πλήθει τῶν Ἰουδαίων ἐν τῇ συναγωγῇ Τί ζητεῖτε μετὰ τοῦ ἀνθρώπου τούτου; ὁ ἄνθρωπος οὗτος πολλὰ σημεῖα ποιεῖ καὶ παράδοξα, ἃ οὐδεὶς ἐποίησεν οὐδὲ ποιήσει. ἄφετε αὐτὸν καὶ μὴ βούλεσθέ τι πονηρὸν κατ' αὐτοῦ· εἰ ἐκ θεοῦ ἐστὶν τὰ σημεῖα ἃ ποιεῖ, σταθήσονται, εἰ δὲ ἐξ ἀνθρώπων, καταλυθήσονται. καὶ γὰρ Μωυσῆς ἀποσταλεὶς παρὰ θεοῦ εἰς Αἴγυπτον ἐποίησεν σημεῖα πολλά, ἃ εἶπεν αὐτῷ ὁ θεὸς ποιῆσαι ἔμπροσθεν Φαραὼ βασιλέως Αἰγύπτου. καὶ ἦσαν ἐκεῖ ἄνδρες θεράποντες Φαραὼ Ἰαννῆς καὶ Ἰαμβρῆς, καὶ ἐποίησαν καὶ αὐτοὶ σημεῖα οὐκ ὀλίγα ἃ ἐποίει Μωυσῆς, καὶ εἶχον αὐτοὺς οἱ Αἰγύπτιοι ὡς θεούς, τὸν Ἰαννῆν καὶ τὸν Ἰαμβρῆν. καὶ ἐπειδὴ τὰ σημεῖα ἃ ἐποίησαν οὐκ ἦσαν ἐκ θεοῦ, ἀπώλοντο καὶ αὐτοὶ καὶ οἱ πιστεύοντες

ABC ἔμπρ. τοῦ Πιλάτου | Ἀξιῶ cum A (add σε) CE Latt .. BD om | εὐσεβή cum BCD (add ἡγεμών) .. E ut videtur εὐσεβής .. A om | κέλευσόν μοι cum DE, item A ἵνα κελεύσῃς μοι .. BC κέλευσόν με | εἰπεῖν .. B λαλῆσαι | ὀλίγους λόγους cum AB Latt; item D ὀλίγον λόγον .. E καθαροὺς λόγους, item C καθαροῦ λόγου | λέγει ὁ Πιλ. cum AB Latt .. C etc ὁ Πιλ. λέγ. | ὁ Νικόδ. cum ABE .. C (et D?) om ὁ | τοῖς πρεσβ. κ. τ. ἱερ. καὶ (C add τοῖς, non item AB) Λευίτ. cum AC Latt .. B τοῖς ἱερεῦσιν κ. τ. πρεσβ. κ. Λευ. | παντὶ τῷ πλήθει cum A .. BCD πᾶν τὸ (C παντὸς) πλῆθος | μετὰ τ. ἀνθρ. τούτου (A om τούτ.) .. D ἐκ τοῦ ἀνθρ. τούτου .. B add τοῦ θανατῶσαι αὐτόν (cod. αὐτῷ) | ὁ ἄνθρ. (D add γάρ) οὗτος (*homo iste*, *homo hic*) cum CD Latt .. A οὗτ. ὁ ἄνθρ. .. B om ὁ ἄνθρ. | ποιεῖ (*facit*, *fecit*, *faciebat*) καὶ παράδοξα .. A παράδοξα ἐποίησεν .. B ποιεῖ παράδοξα ἐν τῷ λαῷ | D ἃ οὐδεὶς ἄλλος | οὐδέ (B οὔτε, D οὐδέ ποτε) ποιήσει .. A οὐδὲ ποιεῖ | βούλεσθε cum BCE .. AD βουληθῆτε | τι πονηρὸν (B κακὸν) κατ' αὐτοῦ cum EB .. A κατ' αὐτοῦ πονηρὸν γενέσθαι .. C κατ' αὐτοῦ πονηρά | εἰ cum AB Latt .. D εἰ μέν, E καὶ εἰ, C εἰ καὶ | ἐκ θεοῦ ἐστίν .. D εἰσὶν ἐκ θεοῦ | τὰ σημεῖα cum ABD Ven .. CE ταῦτα τὰ σημ. | σταθήσονται (D στερεωθήσ.) et καταλυθήσονται cum B (etiam Fabr *est* et *stabunt* etc) D .. A (sed is om εἰ δὲ ἐξ ἀνθρ. καταλ.) CE σταθήσεται et καταλυθήσεται | D ἐξ ἀνθρώπου | καὶ γάρ cum ABE .. C om γάρ | Μωυσῆς cum AB .. C Μωσῆς | παρὰ (B add τοῦ) θεοῦ .. A post εἰς Αἴγ. ponit | εἶπεν αὐτῷ (A Ven om) ὁ θεὸς (B ὁ Ἰησοῦς) ποιῆσαι (C om) ἔμπρ. Φ. βασ. Αἰγ. (A om Αἰγ. una cum seqq. καὶ ἦσαν usque Φαραώ) | Φαραώ cum E .. B τοῦ Φ., C τῷ Φ. | Ἰαμβρῆς .. Latt *Mambres* | καὶ (A om) ἐποίησαν cum ABE .. C καὶ ἐποίουν | καὶ αὐτοί .. B κἀκεῖνοι | οὐκ ὀλίγα .. B πολλά, sed post Μωυσῆς add οὐκ ὀλίγα | ἃ ἐποίει cum BC .. E ὅσα ἐποίησε, A ὡς ἐποίησε | τὸν (C om) Ἰανν. κ. τὸν (C om) Ἰαμβρ. cum BC Vatt .. A (add Φαραώ ad θεούς) E Eins aliique om | καὶ ἐπειδή -- ἐποίησαν (cum CE; ἐποίουν B) -- ἐκ θεοῦ cum BCE .. A καὶ ἐν τῷ μὴ εἶναι τὰ σημεῖα ἀπὸ θεοῦ | οἱ πι-

αὐτοῖς. καὶ νῦν ἄφετε τὸν ἄνθρωπον τοῦτον· οὐ γάρ ἐστιν ἄξιος θανάτου.

2 Λέγουσιν τῷ Νικοδήμῳ οἱ Ἰουδαῖοι Σὺ μαθητὴς αὐτοῦ ἐγένου καὶ τὸν λόγον ὑπὲρ αὐτοῦ ποιεῖς. λέγει πρὸς αὐτοὺς ὁ Νικόδημος Μὴ καὶ ὁ ἡγεμὼν μαθητὴς αὐτοῦ ἐγένετο καὶ τὸν λόγον ὑπὲρ αὐτοῦ ποιεῖ; οὐ κατέστησεν αὐτὸν ὁ Καῖσαρ ἐπὶ τοῦ ἀξιώματος τούτου; ἦσαν δὲ οἱ Ἰουδαῖοι ἐμβριμούμενοι καὶ τρίζοντες τοὺς ὀδόντας αὐτῶν κατὰ τοῦ Νικοδήμου. λέγει πρὸς αὐτοὺς ὁ Πιλᾶτος Τί τοὺς ὀδόντας τρίζετε κατ' αὐτοῦ ἀλήθειαν ἀκούσαντες; λέγουσιν οἱ Ἰουδαῖοι τῷ Νικοδήμῳ Τὴν ἀλήθειαν αὐτοῦ λάβῃς καὶ τὸ μέρος αὐτοῦ. λέγει ὁ Νικόδημος Ἀμὴν ἀμήν, λάβω καθὼς εἴπατε.

## Caput VI.

1 Εἷς δὲ τῶν Ἰουδαίων παραπηδήσας ἠξίου τὸν ἡγεμόνα

---

στεύοντες cum CE .. AB (Latt *qui crediderunt*) οἱ πιστεύσαντες | τὸν ἄνθρ. τοῦτον .. A αὐτόν

2. τῷ Νικ. οἱ Ἰουδ. cum B Vatt .. AC Eins Ven οἱ Ἰουδ. τῷ Νικ. | ἐγένου cum AB Latt .. E εἶ .. C ποιῇ | A ὑπὲρ ἐκείνου | λέγει πρ. αὐτ. ὁ (B om) Νικ. -- ὑπὲρ αὐτοῦ ποιεῖ (A ποιεῖται) cum ABE Vatt Eins Fabr Ven** .. C Cors Ven* om | οὐ κατέστησεν -- ἀξιώμ. τούτου (B om τούτ.) .. A om | ἦσαν δὲ (B οὖν) οἱ Ἰ. ἐμβριμούμενοι (ita BCE) -- κατὰ τοῦ Νικοδ. cum BCE plurimisque Latinis .. D οἱ δὲ Ἰουδαῖοι ἔτριζον τοὺς ὀδόντας κατὰ τοῦ Νικ. .. A Ven ἦσαν δὲ οἱ Ἰουδ. ἐμβριμώμενοι τῷ Νικοδήμῳ | λέγει (ita ABDE Vatt; C καὶ λέγει) πρὸς αὐτοὺς (D om) ὁ Πιλ. | Τί τ. ὀδόντας .. B add ὑμῶν | κατ' αὐτοῦ ἀλήθειαν ἀκούσαντες cum E Vatt .. D Ven κατα τοῦ (fortasse κατ' αὐτοῦ, ut est in Ven) τὴν ἀλήθειαν εἰπόντος .. A κατ' αὐτοῦ; ἀλήθειαν γὰρ λέγει .. B κατ' αὐτοῦ (vide post) .. C κατὰ τοῦ Νικοδήμου | λέγουσιν (A ἀπεκρίθησαν) οἱ Ἰουδ. τῷ Νικ. cum EA Ven, item omisso τῷ Νικόδ. (sed vide post) D .. B ἀκούσαντες δὲ οἱ Ἰουδ. λέγουσιν τῷ Νικοδήμῳ .. C male om | Τὴν ἀλήθ. αὐτοῦ (ita BC Latt; A om; E ταύτην; D Τοῦ Νικοδήμου τὴν ἀλήθ. αὐτός, pro quibus scribendum videtur τῷ Νικοδήμῳ Τὴν ἀλήθ. αὐτοῦ) λάβῃς (D λάβοι, corrige λάβοις; A σὺ λάβοις post τὸ μέρ. αὐτοῦ) | λέγει ὁ Νικ. cum ABD .. CE om ὁ | Ἀμήν bis cum BC; item ter Vatt Ven .. ADE Eins aliique semel | λάβω (ita BE; A λάβοιμι; C om) καθ. εἴπατε cum ABEC, item Latt .. D γένοιτο

VI, 1. Εἷς δὲ τῶν Ἰουδ. παραπηδήσας cum E, item B Εἷς τῶν Ἰουδ. ἄλλος τις παραπ., item C Ἐκ δὲ τῶν Ἰουδ. ἄλλος παραπ. .. A Παρελθὼν δέ τις ἐκ τῶν Ἰουδ. .. D Ἕτερος πάλιν ἐκ τῶν Ἰουδ. .. Latt *Ex Iudaeis quidam alius autem exsiliens*, *Alius quidem Iudaeus festinanter*, *Alius autem Iudaeus festinanter*, *Exiens autem quidem alius exsiliens* | ἠξίου (B ἀξιοῖ) τ. ἡγεμ. λόγον (C λέγων) εἰπεῖν cum ABC .. E εἶπεν Ἀξιῶ, ἡγεμών, εἰπεῖν λόγον, item D λέγει Κέλευσόν

λόγον εἰπεῖν. λέγει ὁ ἡγεμὼν Εἴ τι θέλεις εἰπεῖν, εἰπέ. ὁ δὲ Ἰουδαῖος ἔφη Ἐγὼ τριάκοντα ὀκτὼ ἔτη ἐν κλίνῃ κατεκείμην ἐν ὀδύνῃ πόνων. καὶ ἐλθόντος τοῦ Ἰησοῦ πολλοὶ δαιμονιζόμενοι καὶ ποικίλαις νόσοις κατακείμενοι ἐθεραπεύθησαν ὑπ᾽ αὐτοῦ. καί τινες νεανίσκοι κατελεήσαντές με ἐβάστασάν με μετὰ τῆς κλίνης καὶ ἀπήγαγόν με πρὸς αὐτόν. καὶ ἰδών με ὁ Ἰησοῦς ἐσπλαγχνίσθη καὶ λόγον εἶπέν μοι Ἆρόν σου τὸν κράββατον καὶ περιπάτει. καὶ ἦρα τὸν κράββατόν μου καὶ περιεπάτησα. λέγουσιν οἱ Ἰουδαῖοι τῷ Πιλάτῳ Ἐρώτησον αὐτὸν ποία ἡμέρα ἦν ὅτε ἐθεραπεύθη. λέγει ὁ θεραπευθεὶς Ἐν σαββάτῳ. λέγουσιν οἱ Ἰουδαῖοι Μὴ οὐχ οὕτως ἐδιδάξαμεν ὅτι ἐν σαββάτῳ θεραπεύει καὶ δαίμονας ἐκβάλλει;

---

μοι, ἡγεμών, ἕνα λόγ. εἰπεῖν .. similiter Latt variant | λέγει ὁ ἡγεμών .. B καὶ λέγει ὁ Πιλᾶτος .. A ᾧ προσέταξεν ὁ ἡγεμ. | Εἴ τι θέλ. εἰπεῖν, εἰπ. cum AB Eins Cors Fabr, item omisso εἰπεῖν C Vat$^{b}$ Ven .. D Vat$^{a}$ Εἰπέ | ὁ δὲ Ἰουδ. ἔφη cum A, similiterque Latt .. BC om .. D λέγει ὁ ἡγεμών (? Videtur Εἰπέ, λέγ. ὁ ἡγεμ. habere, omittens seqq. cum BC) | Ἐγώ .. B (item Fabr) add ἐν Ἱερουσαλήμ | τριάκ. (D add καὶ) ὀκτὼ ἔτη cum CD .. A ἐν τριάκ. ὀκτὼ ἔτεσιν, B ἔτεσιν τριάκ. ὀκτώ | ἐν κλίνῃ (Latt postponunt) κατεκείμην cum AB .. CD κατάκειμαι ἐν τῇ κλίνῃ | ἐν ὀδύνῃ πόνων .. A καὶ ἐν ὀδύνῃ πολλῶν πόνων | καὶ ἐλθόντος (ita etiam plures Latt) .. A ἐλθ. δέ | τοῦ Ἰησοῦ .. B τοῦ κυρίου | κατακείμενοι .. A κατεχόμενοι | ἐθεραπ. ὑπ᾽ (E παρ᾽) αὐτοῦ cum BE Latt .. C ἐθερ. παρόντος αὐτοῦ .. A ἰάσεως ἔτυχον | νεανίσκοι cum AB Latt .. E μέν .. C πιστότατοι | E ἐλεήσαντες | ἐβάστασ. με μετὰ τῆς κλ. (A om με μ. τ. κλ.) καὶ ἀπήγ. (E ἐπήγαγ.) με (A om) πρ. αὐτ. cum CEA Vatt Eins Cors .. B μετὰ τῆς κλίνης μου προσήνεγκάν με αὐτῷ | καὶ ἰδών με ὁ Ἰησοῦς (A om) ἐσπλαγχν. (A εὐσπλ.) .. D ἰδὼν δὲ ὁ Ἰησ. καὶ σπλαγχνισθεὶς ἐπ᾽ ἐμοί | καὶ (D om) λόγον (B λόγῳ, A add μόνον) εἶπέν μοι (μοι cum ABDE; C om) | Ἆρον cum AE Vatt Ven .. BC Eins aliique praem Ἔγειρε, item D Ἔγειρε καί | σου τ. κράββ. cum CDE .. AB τ. κράββ. (B κράβατον, item infra) σου | καὶ ἦρα cum ADE .. B κ. ἐπῆρα, C κ. ἀπῆρα. Praeterea AC similiterque Latt praem καὶ παραχρῆμα ἰάθην, item D καὶ σὺν τῷ λόγῳ αὐτοῦ εὐθέως ἠγέρθην .. nihil praem cum BE | καὶ περιεπάτησα .. D καὶ ἀπῆλθον ὑγιὴς εἰς τὸν οἶκόν μου δοξάζων τὸν θεόν | A om τῷ Πιλάτῳ | Ἐρώτησον (B Ἐπερώτ.) .. A add οὖν | ποία ἡμ. ἦν ὅτε ἐθερ. cum ABE Eins Cors Fabr .. C Vatt Ven ποίᾳ ἡμέρᾳ ἐθερ. | λέγει ὁ θεραπευθείς cum B, item καὶ ἀποκριθεὶς ὁ ἰαθεὶς εἶπε E, similiterque Latt (Eins Cors nil nisi *Dixit*, Ven *Dixit autem homo ille*, Vatt *Respondet is qui sanatus fuerat dicens*, Fabr *Dixit languidus sanatus*) .. A λέγει ὁ Πιλᾶτος τῷ τεθεραπευμένῳ Ποία ἡμέρα ἦν ὅτε (sic) ἐθεραπεύθης. ἀπεκρίθη ὁ ἄνθρωπος .. C ἐρωτηθεὶς παρὰ τοῦ Πιλάτου περὶ τῆς ἡμέρας λέγει | Ἐν σαββάτῳ cum AC, E Eins aliique Τὸ σάββατον, B (similiterque Vatt Ven) Ἐν σαββ. ἐθεραπεύθην (sed codex -θη) | οἱ Ἰουδαῖοι (ita etiam Eins Cors) .. B Vatt Ven Fabr add τῷ Πιλάτῳ | Μὴ οὐχ οὕτ. ἐδιδάξ. (B add σοι, non item Latt) .. A Οὐχ εἴπομέν (item *dicimus* Cors) σοι | θεραπεύει .. C ἐθεραπεύθη | δαίμονας cum CE, item *daemones* Vatt Ven .. AB Eins aliique δαιμόνια | ἐκβάλλει .. E ἐλαύνει

[2] Καὶ ἄλλος Ἰουδαῖος παραπηδήσας λέγει Ἐγὼ τυφλὸς ἐγεννήθην, φωνὴν ἤκουον καὶ πρόσωπον οὐκ ἔβλεπον· καὶ παράγοντος τοῦ Ἰησοῦ ἔκραξα φωνῇ μεγάλῃ Ἐλέησόν με, υἱὲ Δαυίδ. καὶ ἠλέησέν με καὶ ἐπέθηκεν τὰς χεῖρας αὐτοῦ ἐπὶ τοὺς ὀφθαλμούς μου, καὶ ἀνέβλεψα παραχρῆμα. καὶ ἄλλος Ἰουδαῖος παραπηδήσας εἶπεν Κυρτὸς ἤμην, καὶ ὤρθωσέ με λόγῳ. καὶ ἄλλος εἶπεν Λεπρὸς ἐγενόμην καὶ ἐθεράπευσέν με λόγῳ.

## Caput VII.

Καὶ γυνή τις ἀπὸ μακρόθεν κράζουσα εἶπεν Αἱμορροοῦσα ἤμην, καὶ ἡψάμην τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ, καὶ ἐστάλη μου ἡ ῥύσις τοῦ αἵματος ἡ δι' ἐτῶν δώδεκα. λέγουσιν οἱ Ἰουδαῖοι Νόμον ἔχομεν γυναῖκα εἰς μαρτυρίαν μὴ ὑπάγειν.

---

2. Καὶ ἄλλος cum AB Latt .. C Καὶ πάλιν ἄλλος, item D Καὶ ἕτερος πάλιν | D om Ἰουδαῖος | παραπηδήσας λέγει (C εἶπεν) cum BC Eins aliisque; item A παρελθὼν λέγει .. D Vatt Ven εἶπεν | Ἐγώ .. A (item Latt) om | ἐγεννήθην .. D ἐξῆλθα ἐκ κοιλίας μητρός μου | φωνὴν ἤκουον cum CD Eins Vatt Ven aliisque, item A sed addit καὶ μόνην .. E φωνῆς μόνον ἤκουον, B καὶ φωνὴν μόνην ἤκουον | καὶ πρόσωπον cum BCE Fabr Eins .. AD Vatt Ven Cors πρόσωπ. δέ | καὶ παράγοντος (B παριόντος) τοῦ Ἰησοῦ (A αὐτοῦ) .. E καὶ παράγων ὁ Ἰησοῦς | φωνῇ μεγάλῃ (C φωνὴν μεγάλην) .. B add λέγων | υἱέ .. E praem κύριε | καὶ ἠλέησέν με -- τ. χ. αὐτοῦ (cum AB Eins aliisque; C Vatt Ven om) ἐπὶ (B εἰς) τ. ὀ. μου .. D καὶ εὐθέως ἐσπλαγχνίσθη ἐπ' ἐμέ, καὶ πτύσας ἐποίησε πηλὸν καὶ ἐπέθηκεν ἐπὶ τ. ὀ. μου | A παραχρ. ἀνέβλεψ. | καὶ ἄλλος .. D κ. ἕτερος | Ἰουδαῖος cum AB (praem ἄνθρωπος)) E (add ἄνθρωπος) Vatt Cors Fabr .. CE Eins Ven om | παραπηδήσας .. AD add εἰς μέσον | Κυρτὸς ἤμην κ. ὤρθωσε (C ὄρθωσε, A ἀνώρθωσε, D ἐθεράπευσε) μ. λ. καὶ ἄλλος εἶπεν Λεπρ. ἐγενόμην (B ἐγεννάμην) κ. ἐθ. με λόγῳ cum E omnibusque codd. latinis .. ACD om καὶ ἄλλος εἶπεν Λεπρὸς -- λόγῳ, item B om Κυρτὸς -- ἄλλ. εἶπεν.

VII. Καί .. A Πρὸς τούτοις | γυνή τις cum BD .. A add ὄνομα Βερνίκη, C ὀνόματι Βερονίκη, item Latt *Veronica nomine* | ἀπὸ μακρόθεν κράζουσα (A κράξασα) .. D ἀπομακρίζουσα, atque sic pergit καὶ ὡς μόνον ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ, εὐθέως ἔστη ἡ ῥύσις τοῦ αἵματός μου: quae corrupta esse apparet. | εἶπεν .. B ἔλεγεν | ἤμην cum BC Vat[a] .. A Vat[b] Ven Fabr add ἐν ἔτεσι δεκαδύο | καὶ ἐστάλη μου ἡ ῥύσ. τ. αἵματ. ἡ (cod. om) δι' ἐτ. δώδεκα cum B .. CA καὶ εὐθέως (A παραχρῆμα) ἔστη ἡ ῥύσ. τ. αἵμ. δι' (A τῶν) ἐτ. δώδ. (A δεκαδύο ἐτῶν). Item Fabr (*et statim fluxus sanguinis mei stetit*) sed om (ut D) δι' ἐτ. δώδ. .. Vatt Ven *et statim sana facta sum* | λέγουσιν cum AB Vatt Fabr .. C etc Ven praem τότε | οἱ Ἰουδαῖοι .. B add τῷ Πιλάτῳ | Νόμον (A Ἡμεῖς νόμον) ἔχομεν -- μὴ ὑπάγειν cum ABDE Latt .. C Γυναῖκα εἰς μαρτ. μὴ ὑπάγῃ.

## Caput VIII.

Καὶ ἄλλοι δέ τινες πλῆθος ἀνδρῶν τε καὶ γυναικῶν ἔκραζον λέγοντες Οὗτος ὁ ἄνθρωπος προφήτης ἐστίν, καὶ τὰ δαιμόνια αὐτῷ ὑποτάσσονται. λέγει ὁ Πιλᾶτος πρὸς τοὺς εἰπόντας αὐτῷ ὅτι τὰ δαιμόνια αὐτῷ ὑποτάσσονται Διὰ τί καὶ οἱ διδάσκαλοι ὑμῶν οὐχ ὑπετάγησαν αὐτῷ; λέγουσιν τῷ Πιλάτῳ Οὐκ οἴδαμεν. ἄλλοι δὲ εἶπον ὅτι τὸν Λάζαρον τεθνηκότα ἤγειρεν ἐκ τοῦ μνημείου τετραήμερον. ἔντρομος δὲ γενόμενος ὁ ἡγεμὼν λέγει πρὸς ἅπαν τὸ πλῆθος τῶν Ἰουδαίων Τί θέλετε ἐκχέειν αἷμα ἀθῷον;

## Caput IX.

[1] Καὶ προσκαλεσάμενος τὸν Νικόδημον καὶ τοὺς δώδεκα ἄνδρας τοὺς εἰπόντας ὅτι οὐ γεγέννηται ἐκ πορνείας λέγει αὐτοῖς Τί ποιήσω, ὅτι στάσις γίνεται ἐν τῷ λαῷ; λέγουσιν αὐτῷ Ἡμεῖς οὐκ οἴδαμεν· αὐτοὶ ὄψονται. πάλιν ὁ Πιλᾶτος προσκαλεσάμενος ἅπαν τὸ πλῆθος τῶν Ἰουδαίων λέγει Οἴδατε ὅτι συνήθεια ὑμῖν ἐστὶν κατὰ ἑορτὴν τῶν ἀζύμων ἕνα ἀπολύειν ὑμῖν δέσμιον. ἔχω

---

VIII. Καὶ (B om) ἄλλοι δέ (ita CE, item B; A om) τινες .. D καὶ ἕτερον | πλῆϑος ἀνδρ. τε (D om) κ. γυν. cum BED Ven .. C Vatt om πλῆϑος .. A Eins Cors ἀπὸ τοῦ πλήϑους ἄνδρες τε καὶ γυναῖκες | προφήτης ἐστίν .. E δίκαιος ἦν | ὑποτάσσονται cum AB .. CE ὑποτάσσεται | λέγει ὁ Πιλ. πρ. τ. εἰπόντας (E πάντας omisso αὐτῷ sq) α. ὅ. τὰ (cum E; B om) δ. α. ὑποτάσσ. cum BE Eins .. AC om (propter ὁμοιοτέλευτον?), item plures codd. latini | Διὰ τί καὶ οἱ -- ὑπετάγησαν (ita B, item [vide infra] A; C ὑποτάσσονται) αὐτῷ; λέγουσιν -- Οὐκ οἴδαμεν cum BC .. A καὶ διὰ τί οἱ διδάσκαλοι ἡμῶν οὐχ ὑπετάγησαν αὐτῷ, ἡμεῖς οὐκ οἴδαμεν· αὐτοὶ ὄψονται .. varie differunt latini codices, quos vide ad latinum textum. | ἄλλοι δὲ (A add τινὲς τῶν Ἰουδαίων) εἶπον (A ἔλεγον) cum BA Latt .. C ἄλλος δὲ εἶπε. Praeterea C Latt add τῷ Πιλάτῳ | ὅτι (cum BC Eins Fabr; A Vatt aliique om) τὸν Λάζ. (A Λάζ. τινα) τεϑνηκότα (A τεϑνεῶτα; C post μνημείου) ἤγ. ἐκ τ. μνημ. (A ἐκ νεκρῶν) τετραήμερον (h. l. A; C post Λάζαρ.; Latt ante ἐκ τ. μνημ.; B om) | ὁ ἡγεμών .. A ὁ Πιλᾶτος | ἅπαν .. B πᾶν | ϑέλετε cum AC .. B βούλεσϑε | ἐκχέειν cum BC .. A ἐκχέαι

IX, 1. Καὶ προσκαλεσάμενος cum AC .. B add ὁ ἡγεμών, item Latt *Pilatus* | τὸν Νικόδ. κ. τ. δ. ἄνδρας (ita B Latt; A om) τοὺς -- ἐκ πορνείας cum AB Latt .. C om | γίνεται cum BC Latt .. A ἐστίν | ἐν τῷ λαῷ cum AC Latt .. B om | πάλιν cum B Latt .. C καὶ πάλιν .. A om | ὁ Πιλ. προσκ. -- λέγει cum C, similiterque Latt; item ὁ Πιλ. ante λέγει posito B .. A λέγει ὁ Πιλ. παντὶ τῷ πλήϑει τῶν Ἰουδ. | συνήϑεια ὑμῖν (B ἡμῖν) cum BC Eins aliisque .. A om ὑμῖν | κατὰ ἑορτήν cum BC (Latt *per diem*) .. A ἐν τῇ ἑορτῇ | τῶν ἀζύμων

ἕνα κατάδικον δέσμιον ἐν τῷ δεσμωτηρίῳ φονέαν λεγόμενον Βαραββᾶν, καὶ τοῦτον τὸν στήκοντα κατενώπιον ὑμῶν τὸν Ἰησοῦν, εἰς ὃν οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ. τίνα θέλετε ἀπολύσω ὑμῖν; οἱ δὲ κράζουσιν Τὸν Βαραββᾶν. λέγει ὁ Πιλᾶτος Τί οὖν ποιήσωμεν Ἰησοῦν τὸν λεγόμενον Χριστόν; λέγουσιν οἱ Ἰουδαῖοι Σταυρωθήτω. ἕτεροι δὲ ἔλεγον Οὐκ εἶ φίλος τοῦ Καίσαρος ἐὰν τοῦτον ἀπολύσεις, ὅτι εἶπεν ἑαυτὸν υἱὸν θεοῦ καὶ βασιλέα· θέλεις οὖν τοῦτον βασιλέα καὶ οὐ Καίσαρα.

2 Θυμωθεὶς δὲ ὁ Πιλᾶτος λέγει πρὸς τοὺς Ἰουδαίους Ἀεὶ στασιαστὸν τὸ ἔθνος ὑμῶν, καὶ τοῖς εὐεργέταις ὑμῶν ἀντιλέγετε. λέγουσιν οἱ Ἰουδαῖοι Ποίοις εὐεργέταις; λέγει αὐτοῖς Ὁ θεὸς ὑμῶν ἀπὸ δουλείας σκληρᾶς ἐξήγαγεν ὑμᾶς ἐκ γῆς Αἰγύπτου καὶ διὰ θαλάσσης ἔσωσεν ὑμᾶς ὡς διὰ ξηρᾶς, καὶ ἐν τῇ ἐρήμῳ

---

cum AC Latt .. B om | ἔχω ἕνα κατάδ. δέσμ. -- φονέαν λέγομ. Βαραββᾶν (cod. Βαραβᾶν) cum C Eins aliisque .: B ἔχω δὲ ἐν τῷ δεσμ. φονέαν τοῦτον λεγόμ. Βαρραβᾶν (sic) .. A ἔχω δὲ καταδίκους ἐν τῷ δεσμ., ἐν οἷς καὶ φονέα τὸν Βαραβᾶν (sic) | καὶ τοῦτον τὸν στήκοντα (ita B; C τούτων ἑστηκότων) κατενώπιον (ita B; C κατὰ πρόσωπον) ὑμῶν (B ἡμῶν) τὸν Ἰησ. εἰς ὃν (C ἶσον, B ᾧ) οὐδεμίαν (uterque οὔτε μίαν) αἰτ. εὑρ. ἐν αὐτῷ cum BC, similiterque Fabr .. A τοῦτον οὖν τὸν ἱστάμενον ἐνώπιον ὑμῶν Ἰησοῦν βούλομαι ἀπολῦσαι διὰ τὸ μὴ εὑρίσκειν με αἰτίαν ἐν αὐτῷ | τίνα θ. ἀ. ὑμῖν cum BC Eins Cors .. A τίνα τοίνυν θέλ. ἀπολύσω (etiam Fabr om ὑμῖν) | οἱ δὲ κράζουσιν (A λέγουσι) cum AC .. B κράζουσιν οἱ Ἰουδαῖοι .. Latt *clamaverunt autem omnes dicentes* | Τὸν Βαραββ. (cod. Βαρραβᾶν) cum B .. AC om τόν | λέγει (cum AB Latt; C καὶ λέγει) ὁ (ita AB; C om; praeterea BC Latt praem αὐτοῖς, non item A) Πιλ. | ποιήσωμεν cum B .. AC Latt ποιήσω | λέγουσιν οἱ Ἰουδ. cum AB .. C om οἱ Ἰουδ. .. Latt *dicunt omnes* | ἕτεροι δὲ ἔλεγον cum B .. A τινὲς δὲ τῶν Ἰουδαίων ἀπεκρίθησαν .. Eins *iterum dixerunt Iudaei*, Fabr *iterum clamant dicentes Pilato* .. C ἕτερος δὲ τῶν Ἰουδαίων ἔλεγε πρὸς τὸν Πιλᾶτον | Οὐκ (ita AB; C Τάχα οὐκ) εἶ (B ἦν) -- ἐὰν τοῦτ. ἀπολύσεις (ita B Latt; A ἐὰν μὴ σταυρώσῃς αὐτόν; C om) | ὅτι εἶπεν -- θέλεις οὖν τοῦτον (Eins *ni forte vis hunc esse* etc) βασ. κ. οὐ Καίσ. cum C, similiterque Latt .. B ὅτι εἶπ. ἑαυτὸν τὸν υἱὸν θεοῦ καὶ βασιλέα εἶναι καὶ οὐ Καίσαρα .. A ἀλλὰ σὺ τάχα τοῦτον θέλεις εἶναι βασιλέα, οὐχὶ δὲ τὸν Καίσαρα Ceterum Vatt brevissime absolvunt IX, 1—XI, 1; item Ven IX, 1—4. Cf. text. lat.

2. Θυμωθεὶς δέ cum A .. B Θυμοῦ δὲ πλησθεὶς .. C Χολέσας (sic) δέ | B πρ. τ. Ἰουδ. εἶπεν | Ἀεὶ στασ. cum AB Latt .. C Διστασιαστόν | τὸ ἔθν. (A γένος) ὑμῶν cum B .. A add καὶ κατάρατον, C ἐστί | A πάντοτε ἀντιλέγετε | λέγει αὐτοῖς cum B .. C λέγει ὁ Πιλᾶτος, A ὁ δὲ Πιλᾶτος ἔφη .. Latt *dicit eis Pilatus* | Ὁ θεὸς ὑμῶν .. C solus praem ὡς ἀκούω | ἀπό .. A ἐκ | ἐξήγαγεν ὑμᾶς ἐκ γ. Αἰγ. καὶ δ. θ. ἔσωσεν (B ὁδήγησεν, item Latt) ὑμ. ὡς δ. ξηρᾶς cum BC Latt .. A ἐξήγαγεν ὑμᾶς διὰ θαλάσσης ὡς διὰ ξηρᾶς | ἐν τῇ ἐρήμῳ ..

διέθρεψεν ὑμᾶς μάννα καὶ ὀρτυγομήτραν ἔδωκεν ὑμῖν, καὶ ἐκ πέτρας ὕδωρ ἐπότισεν ὑμᾶς, καὶ νόμον ἔδωκεν ὑμῖν· καὶ ἐπὶ τούτοις ὅλοις παρωργίσατε τὸν θεὸν ὑμῶν, καὶ ἐζητήσατε μόσχον χωνευτόν. καὶ παρωξύνατε τὸν θεὸν ὑμῶν, καὶ ἐζήτησεν ἀποκτεῖναι ὑμᾶς· καὶ ἐλιτάνευσεν Μωυσῆς ὑπὲρ ὑμῶν, καὶ οὐκ ἐθανατώθητε. καὶ νῦν καταγγέλλετέ μου ὅτι βασιλέα μισῶ.

[3] Ἀναστὰς δὲ ἀπὸ τοῦ βήματος ἐζήτει ἐξελθεῖν. καὶ κράζουσιν οἱ Ἰουδαῖοι λέγοντες Ἡμεῖς βασιλέα οἴδαμεν τὸν Καίσαρα καὶ οὐ τὸν Ἰησοῦν. καὶ γὰρ οἱ μάγοι δῶρα προσήνεγκαν αὐτῷ ὡς βασιλεῖ· καὶ ἀκούσας ὁ Ἡρώδης παρὰ τῶν μάγων ὅτι βασιλεὺς ἐγεννήθη, ἐζήτησεν τοῦ ἀποκτεῖναι αὐτόν. γνοὺς δὲ αὐτοῦ ὁ πατὴρ Ἰωσὴφ παρέλαβεν αὐτὸν καὶ τὴν μητέρα αὐτοῦ, καὶ ἔφυγον εἰς Αἴγυπτον· καὶ ἀκούσας Ἡρώδης ἀπώλεσεν τοὺς παῖδας τῶν Ἑβραίων τοὺς γεννηθέντας ἐν Βηθλεέμ.

---

C om τῇ | διέϑρεψ. (C ἔϑρεψ.) ὑμ. μάννα cum BC Latt .. A πεινῶντας τῷ μάννα διέϑρεψε | καὶ ὀρτυγ. ἔδωκεν ὑμῖν καὶ ἐκ πέτρας -- νόμον ἔδ. ὑμῖν cum C, similiterque Latt .. AB καὶ ὀρτυγομήτρ. (B add καὶ νόμον) ἔδωκεν ὑμῖν, omissis reliquis | καὶ ἐπὶ (Latt in) τούτ. ὅλοις (C πᾶσι) παρωργίσ. (C παροργ.) τ. ϑ. ὑμῶν cum BC Latt .. A ἐν πᾶσι δὲ τούτοις παρωργ. μᾶλλον τ. ϑ. ὑμῶν | καὶ ἐζητήσατε μόσχον χωνευτόν. καὶ παρωξύνατε (cod. παροξ.) τὸν ϑεὸν ὑμῶν cum C Cors Fabr .. AB Eins om | ἐζήτησεν ἀποκτ. ὑμᾶς cum AC .. B ἠϑέλησεν ἀπολέσαι ὑμᾶς | A ὑπὲρ ὑμῶν Μωυσῆς | οὐκ ἐϑανατώϑητε cum C .. B οὐκ ἀπεκτάνϑητε .. A οὐκέτι ἀπεϑάνετε | καὶ νῦν καταγγ. cum BC .. A νῦν δὲ καταλέγετέ μου | ὅτι βασιλέα μισῶ cum C Latt .. B ὅτι ἄλλον βασιλέα ϑέλω .. A ὅτι τὸν βασιλέα Ἰησοῦν ζητῶ.

3. Ἀναστὰς δὲ cum AB .. C Latt Καὶ ἀναστάς. Praeterea B add ὁ ἡγεμών, C ὁ Πιλᾶτος; sed A Latt neutrum add | ἐζήτει cum A .. BC ἐζήτησεν | καί .. B add νῦν | κράζουσιν cum B .. C ἔκραζον .. A ἀνέκραξαν φωνήν | λέγοντες cum A Latt .. C praem τῷ Πιλάτῳ, B idem add | βασιλ. οἴδ. τὸν (B om) Καίσ. cum BC Latt .. A τὸν Καίσ. οἴδ. βασιλ. εἶναι | καὶ οὐ (ita B; C σὺ) τὸν Ἰησ. cum BC Latt .. A οὐχὶ δὲ τοῦτον | οἱ μάγοι δῶρα πρ. αὐτῷ ὡς βασιλεῖ cum C Latt .. A οἱ μάγ. ἀπὸ ἀνατολῶν δῶρα αὐτῷ ὡς βασιλεῖ ἤνεγκαν .. B οἱ μάγ. προσήν. αὐτῷ ἀπὸ ἀνατολῶν δῶρα ὡς βασιλεῖ | καὶ ἀκούσας ὁ (B om) Ἡρώδ. παρὰ τῶν μάγων (π. τ. μάγ. cum C Eins Cors; B Fabr om) ὅτι -- τοῦ ἀποκτ. αὐτόν cum BC Latt .. A καὶ ἀπήγγειλαν τῷ Ἡρώδῃ ὅτι β. ἐγ., καὶ ἐζήτησεν ὁ Ἡρώδης ἀποκτεῖναι αὐτόν | αὐτοῦ ὁ πατήρ cum C .. AB ὁ πατ. αὐτοῦ | παρέλαβεν (B παραλαμβάνει) αὐτ. κ. τ. μ. αὐτοῦ cum BC Eins Cors .. A παρέλαβε τὴν μ. α. Μαριάμ | ἔφυγον cum A Eins Cors .. BC ἔφυγεν (Fabr *fugit in Aegyptum cum matre sua Maria*) | καὶ ἀκούσας Ἡρώδης ἀπώλεσεν cum C .. B ἀκούσας δὲ Ἡρώδης ὁ βασιλεὺς ἀπέκτεινε .. A καὶ δι' αὐτὸν ἀπώλεσεν Ἡρώδης .. similiter variant Latini | τοὺς παῖδας τῶν Ἑβραίων (B add ἀπὸ διετοῦς καὶ κατωτέρω) τοὺς γενν. ἐν Βηϑλ. cum AB Eins Cors .. C τοὺς παῖδ. τοὺς ἐν Βηϑλεέμ

4 Ἀκούσας δὲ ὁ Πιλᾶτος τοὺς λόγους τούτους ἐφοβήθη. καὶ κατασιγήσας ὁ Πιλᾶτος τοὺς ὄχλους, ὅτι ἔκραζον, λέγει αὐτοῖς Ὥστε οὗτός ἐστιν ὃν ἐζήτει Ἡρώδης; λέγουσιν οἱ Ἰουδαῖοι Ναί, οὗτός ἐστιν. καὶ λαβὼν ὕδωρ ὁ Πιλᾶτος ἀπενίψατο τὰς χεῖρας αὐτοῦ ἀπέναντι τοῦ ἡλίου λέγων Ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου· ὑμεῖς ὄψεσθε. πάλιν κράζουσιν οἱ Ἰουδαῖοι ὅτι τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν.

5 Τότε ἐκέλευσεν ὁ Πιλᾶτος τὸν βῆλον ἑλκυσθῆναι τοῦ βή-

---

4. τοὺς λόγους τούτους cum AC Latt .. B add παρὰ τῶν Ἰουδαίων | ἐφοβήθη. καὶ κατασιγήσας ὁ Πιλ. τοὺς ὄχλ., ὅτι ἔκραζον (cod. ἔκραζαν), λέγει αὐτοῖς cum B, item Latt (*et silentio facto in populo qui clamabant* [ita Eins; Cors *clamabat*] *dixit eis* [ita Cors; Eins *dixit Pilatus*]) .. A ἐφοβήθη, καὶ κατασείσας τῇ χειρὶ λέγει τοὺς ὄχλους σιγᾶν .. C λοιπὸν (cod. λιπὸν) ὅτι ἔκραζον, λέγει | Ὥστε (*Ergo*) οὗτός ἐστιν cum C Eins, item omisso Ὥστε B Cors .. A πυνθανόμενος εἰ οὗτός ἐστιν | ἐζήτει Ἡρώδης cum BC Eins Cors .. A (Fabr) add ἀποκτεῖναι | λέγουσιν οἱ Ἰουδαῖοι cum BC (Fabr) .. A Eins Cors λέγ. αὐτῷ | Ναί (Latt om) οὗτός ἐστ. cum BC Latt .. A om οὗτ. ἐστ. | καὶ λαβὼν cum AB (Latt *accipiens autem*) .. C τότε λαβὼν | A om ὁ Πιλᾶτος et αὐτοῦ | ἀπέναντι τοῦ ἡλίου cum BC .. A Latt ἀπέν. τοῦ ὄχλου | τοῦ δικ. τούτου cum AB Latt .. C τούτου τοῦ δικ. | πάλιν κράζουσιν cum B .. C καὶ πάλ. κρ. .. A κράζουσιν .. Latt *et responderunt* | ὅτι cum C .. AB om

5. Τότε cum AC Latt .. B Καί | τὸν βῆλον (C τὸν βίβλον) ἑλκ. τοῦ (C ἐπὶ τοῦ) βήμ. cum A, item C; porro B ἑλκ. τὸ βῆλον ἐπὶ τοῦ βήματος. Accedit Ven *velum solvi* .. Eins (similiterque Cors) *adduci illum ante tribunal*; Fabr *adduci Iesum ante se.* Quam ad lectionem latinam Muenterus (cf. Staeudlin u. Tzschirner: Archiv für alte und neue Kirchengesch. V. 2. 1822. p. 334.) ipsum graecum textum conformari voluit; illud enim ἑλκυσθῆναι ἐπὶ τοῦ βήματος non posse nisi de ipso Iesu dictum esse. Nuper eandem amplexus sententiam Hofmannus (vide supra pag. 140.) locum ita emendandum duxit ut pro βῆλον (βίβλον) reponeret βέβηλον, cf. Leben Jesu p. 362. Quae coniectura et facilis est pro vocis similitudine nec nihil ab ipsa re commendationis habet. Contra vero est quod veri est dissimillimum, h. l. βέβηλον a Pilato nuncupari in quem modo dixisset Ἀθῷός εἰμι ἀπὸ τ. αἵμ. τοῦ δικαίου τούτου. Nec apte provocatur ad illam σαββάτων βεβήλωσιν quae in Iudaeorum accusatione erat, quum in Pilati sententia eius rei nulla prorsus sit habita ratio. Porro contra est quod subsequitur statim τῷ Ἰησοῦ vel κατὰ τοῦ Ἰησοῦ; praecedente enim τὸν βέβηλον legendum esset αὐτῷ vel κατ' αὐτοῦ. Denique ea quae sequuntur, καὶ ἐξῆλθεν ὁ Ἰησοῦς ἐκ τοῦ πραιτωρίου, ad lectionem illam ex qua Iesus iam ad tribunal extra praetorium positum tractus dicitur, non satis conveniunt. Quae quum ita sint, lectio in textum nostrum recepta non temere deserenda videtur. Hanc ad explicandam duo inprimis loci faciunt, iam a Thilone illi quidem adscripti. Alter est Basilii M. in epistola 79. s. 123. ad Eustathium Sebastiae episc. (ed. Bened. p. 340 sq.) εἰ γὰρ οἱ τοῦ κόσμου τούτου ἄρχοντες ὅταν τινὰ τῶν κακούργων θανάτῳ καταδικάζειν μέλλωσιν, ἐφέλκονται τὰ παραπετάσματα, καλοῦσι δὲ τοὺς ἐμπειροτάτους πρὸς τὴν ὑπὲρ τῶν προκειμένων σκέψιν - - · Alter Chryso-

ματος οὗ ἐκαθέζετο, καὶ λέγει τῷ Ἰησοῦ Τὸ ἔθνος τὸ σὸν κατήλεγξέ σε ὡς βασιλέα· διὰ τοῦτο ἀπεφηνάμην πρῶτον φραγελλοῦσθαί σε διὰ τὸν θεσμὸν τῶν εὐσεβῶν βασιλέων, καὶ τότε ἀναρτᾶσθαι ἐπὶ τοῦ σταυροῦ ἐν τῷ κήπῳ ὅπου ἐπιάσθης· καὶ Δυσμᾶς καὶ Γέστας οἱ δύο κακοῦργοι συσταυρωθήτωσάν σοι.

## Caput X.

1 Καὶ ἐξῆλθεν ὁ Ἰησοῦς ἐκ τοῦ πραιτωρίου, καὶ οἱ δύο κακοῦργοι σὺν αὐτῷ. καὶ ὅτε ἀπῆλθαν ἐπὶ τὸν τόπον, ἐξέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ καὶ περιέζωσαν αὐτὸν λέντιον, καὶ στέφανον ἐξ ἀκανθῶν περιέθηκαν αὐτῷ περὶ τὴν κεφαλήν. καὶ

stomi est in Matth. cap. XVII. homil. LVI. (pag. 360. ed. Savil.) καθάπερ γὰρ ἐπὶ τοῖς δικασταῖς ὅταν δημοσίᾳ κρίνωσι, τὰ παραπετάσματα συνελκύσαντες οἱ παρεστῶτες πᾶσιν αὐτοὺς δεικνύουσιν - - - De ipsa voce βῆλος cf. Cangii glossarium sub βέλον, βῆλον. | οὗ ἐκαθέζετο cum AB .. C οὗ ἐκαθίζετο | λέγει τῷ Ἰησοῦ cum B Ven .. A ἀπεφήνατο λέγων τῷ Ἰησοῦ, C οὕτως ἀπεφήνατο κατὰ τοῦ Ἰησοῦ, Eins aliique *et prosecutus est his verbis dicens sententiam Pilatus adversus Iesum.* Praeterea C solus addit ἀπόφασις Πιλάτου, id quod ex margine in textum transisse videtur. | κατήλεγξέ σε ὡς βασιλέα cum A Latt .. B κατήγγειλάν σου ὡς βασιλεῖ .. C κατέπεξάν σε ὡς βασιλεῖ (sic) | διὰ τοῦτο cum AB Latt .. C καὶ δ. τ. | ἀπεφηνάμην cum AB .. C corrupte ἀφυνάμην. Praeterea B add κατὰ σοῦ | φραγελλοῦσθ. (A φραγγελοῦσθ., B φραγελοῦσθ.) σε cum AB Latt .. C om σε | διὰ τὸν θ. τ. εὐσεβ. βασ. cum B .. C διὰ τῶν θεσμῶν τῶν ἀσεβῶν βασιλ. .. A διὰ τὸν θεσμὸν τὸν βασιλικόν .. Latt *propter statuta priorum* (ita Eins Fabr; Ven Cors om) *principum* (Ven *imperatorum*) | καὶ τότε cum BC .. A ἔπειτα | ἀναρτᾶσθαι cum AB (B add σε) .. C ἀρτᾶσθαι (isque αὐτόν addit) | ἐπὶ τοῦ cum BC .. A om τοῦ | ἐν τῷ cum BC .. A ἐπὶ τῷ | ἐπιάσθης cum AB .. C ἐπιάσθη. Ex Latinis Fabr sic: *et in cruce suspendi in eo loco ubi tentus es*; Eins Cors *deinde praecepit allevari eum* (Cors *eum elevari*) *in crucem* (Cors *in cruce*) *in eo loco ubi* (Cors *quo*) *tentus est*; Ven nil nisi *et tunc crucifigi in cruce* | καὶ Δυσμᾶς καὶ Γέστας (ita ex B et Latt; A Στέγας) οἱ δύο κακοῦργοι συσταυρωθήτωσάν σοι cum A .. C καὶ δύο κακοῦργοι σὺν αὐτῷ: item B additis his ὁ εἷς λεγόμενος Δυσμᾶς καὶ ὁ ἕτερος Γεστάς (hoc accentu). Eins Cors Fabr *et duo maligni* (Cors Fabr *duos malignos*) *cum eo* (Fabr *tecum*), *quorum nomina sunt haec Dismas* (*Dimas*, *Dymas*) *et Gestas.* Horum vero nihil habet Ven, nisi quod seqq. Καὶ ἐξῆλθεν — σὺν αὐτῷ sic reddit: *et flagellatum tradidit Iudaeis Iesum ad crucifigendum, et duos latrones cum ipso: unus nomine Dismas et alius nomine Gestas.*

X, 1. Καὶ ἐξῆλθεν - - σὺν αὐτῷ cum B Eins Fabr; item A καὶ ἐξῆλθ. ὁ Ἰησ. καὶ οἱ δύο λῃσταὶ ἀπὸ τοῦ πραιτωρίου .. C καὶ εὐθὺς ἐξήγαγον τὸν Ἰησοῦν ἀπὸ τοῦ πραιτωρίου ἅμα τῶν δύο κακούργων | ἀπῆλθαν cum AB .. C ἦλθον | ἐπὶ τὸν (B τοῦ) τόπον (B -που) .. A add τοῦ κρανίου, similiter Eins Fabr | ἐξέδυσαν cum AB Latt .. C add οἱ στρατιῶται | αὐτόν cum A Latt .. C τὸν Ἰησοῦν .. B om | τὰ ἱμάτια αὐτοῦ: A add καὶ διεμερίσαντο αὐτά (vide infra) | λέντιον cum B .. AC λεντίῳ | περιέθηκαν αὐτῷ περὶ τ. κεφ. cum B .. A ἐπέ-

ἐσταύρωσαν αὐτόν· ἅμα δὲ καὶ τοὺς δύο κακούργους ἐκρέμασαν σὺν αὐτῷ. ὁ δὲ Ἰησοῦς ἔλεγεν Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασιν τί ποιοῦσιν. καὶ διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ οἱ στρατιῶται. καὶ ἵστατο ὁ λαὸς θεωρῶν αὐτόν. καὶ ἐξεμυκτήριζον αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ἄρχοντες σὺν αὐτοῖς λέγοντες Ἄλλους ἔσωσεν, σωσάτω ἑαυτόν· εἰ υἱός ἐστιν τοῦ θεοῦ οὗτος, καταβάτω ἀπὸ τοῦ σταυροῦ. ἐνέπαιζον δὲ αὐτῷ οἱ στρατιῶται προσερχόμενοι καὶ ὄξος μετὰ χολῆς προσφέροντες αὐτῷ, καὶ ἔλεγον Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων, σῶσον σεαυτόν.

Ἐκέλευσεν δὲ ὁ Πιλᾶτος μετὰ τὴν ἀπόφασιν εἰς τίτλον ἐπιγραφῆναι τὴν αἰτίαν αὐτοῦ γράμμασιν ἑλληνικοῖς ῥωμαϊκοῖς καὶ ἑβραϊκοῖς, καθὼς εἶπαν οἱ Ἰουδαῖοι ὅτι βασιλεύς ἐστιν τῶν Ἰουδαίων.

2 Εἷς δὲ τῶν κρεμασθέντων κακούργων ἔφη αὐτῷ λέγων Εἰ σὺ εἶ ὁ Χριστός, σῶσον σεαυτὸν καὶ ἡμᾶς. ἀποκριθεὶς δὲ

---

θηκαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ .. C περιέθηκαν αὐτοῦ τῇ κεφαλῇ | καὶ ἐσταύρωσαν αὐτόν cum C .. AB Latt om | ἅμα δὲ καὶ τοὺς δύο κακούργ. ἐκρέμασαν σὺν αὐτῷ cum C .. AB ὁμοίως δὲ (B om) καὶ τ. δ. κακ. ἐκρέμασαν (B σὺν αὐτῷ pro ἐκρέμ.) Δυσμᾶν (B τὸν μὲν ἕνα) ἐκ δεξιῶν καὶ Στέγαν (B τὸν δὲ ἕτερον) ἐξ εὐωνύμων. Similiter Latini. | Πάτερ cum AB Latt .. C om | B ἄφες αὐτούς | καὶ διεμερίσαντο τ. ἱ. α. οἱ στρ. cum BC Ven (Eins aliique om οἱ στρατ., sed Fabr Cors add *super vestem eius mittentes sortem*) . . A om | καὶ ἵστατο (cum B, C στήκει) ὁ λα. θεωρ. αὐτόν (C om αὐτ.) cum BC, item Latt (*et steterunt populi*; Ven *et ibat populus expectans*) .. A om | οἱ ἀρχιερ. καὶ οἱ ἄρχοντες σὺν αὐτοῖς cum B .. C οἱ ἀρχιερ. καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ .. A οἱ ἱερεῖς καὶ οἱ ἀρχισυνάγωγοι .. similiter variant Latini | σωσάτω ἑαυτόν cum B Latt .. AC καὶ ἑαυτὸν οὐ δύναται σῶσαι (utrumque coniungit Ven) | εἰ υἱός - - ἀπὸ τ. σταυροῦ cum B (similiter Latt) .. AC εἰ υἱός ἐστι τοῦ θεοῦ (C εἰ υἱ. θεοῦ εἶ apud Birchium, εἰ υἱ. εἶ τοῦ θε. apud Thil.), καταβάτω νῦν ἀπὸ τ. στ. καὶ πιστεύσομεν (C -σωμεν) εἰς αὐτόν | οἱ στρατιῶται cum B Latt .. AC καὶ οἱ στρ. | ὄξος μετὰ χολῆς cum AC Eins Cors Fabr .. B Ven om μετὰ χολῆς | Σὺ εἶ cum B .. AC Latt Εἰ σὺ εἶ | ὁ βασιλεύς cum B Latt .. AC praem ὁ Χριστός | σῶσον σεαυτόν (B -τῷ) .. B add καταβάτω ἀπὸ τοῦ σταυροῦ. Praeterea B et Latt add καὶ λαβὼν Λογγίνος (hoc accentu) ὁ στρατιώτης λόγχην ἔνυξεν αὐτοῦ τὴν πλευράν, καὶ ἐξῆλθεν αἷμα καὶ ὕδωρ.

Ἐκέλευσεν δέ .. B τότε ἐκέλευσεν | εἰς τίτλον ἐπιγραφῆναι (A γραφῆναι) τὴν α. α. cum A (sic) B .. C καὶ τίτλον ἐπιγραφῆναι τὴν α. α. | ἑλλην. ῥωμ. καὶ ἑβραϊκ. cum B, item Latt (Ven Eins Cors *hebraicis* [Cors *et*] *graecis et latinis*; Fabr *hebr. et lat. et gr.*) .. A ἑλλην. καὶ ῥωμ. .. C nil nisi ἑλληνικοῖς | καθὼς εἶπαν (A εἶπον) - - τῶν Ἰουδ. cum AB, similiterque Latt .. C om

2. Εἷς δέ cum AB .. C add τις | B τῶν συγκρεμασθέντων αὐτῷ κακούργων .. C Latt add ὀνόματι Γεστᾶς | ἔφη αὐτῷ λέγων cum B .. A ἔλεγεν αὐτῷ

Δυσμᾶς ἐπετίμα αὐτῷ λέγων Οὐδὲν φοβῇ σὺ τὸν θεόν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν ἐπράξαμεν ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν κακὸν ἐποίησεν. καὶ ἔλεγεν τῷ Ἰησοῦ Μνήσθητί μου, κύριε, ἐν τῇ βασιλείᾳ σου. εἶπεν δὲ αὐτῷ ὁ Ἰησοῦς Ἀμὴν ἀμὴν λέγω σοι ὅτι σήμερον μετ' ἐμοῦ ἐν τῷ παραδείσῳ εἶ.

## Caput XI.

[1] Ἦν δὲ ὡσεὶ ὥρα ἕκτη καὶ σκότος ἐγένετο ἐπὶ τὴν γῆν ἕως ὥρας ἐνάτης, τοῦ ἡλίου σκοτισθέντος, καὶ ἐσχίσθη τὸ καταπέτασμα τοῦ ναοῦ μέσον. καὶ φωνήσας φωνῇ μεγάλῃ ὁ Ἰησοῦς εἶπεν Πατήρ, βαδδὰχ ἐφκὶδ ῥουέλ, ὃ ἑρμηνεύεται Εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου. καὶ τοῦτο εἰπὼν παρέδωκε τὸ πνεῦμα. ἰδὼν δὲ ὁ ἑκατόνταρχος τὸ γενόμενον ἐδόξασεν τὸν θεὸν λέγων ὅτι ὁ ἄνθρωπος οὗτος δίκαιος ἦν. καὶ πάντες οἱ παρα-

(Eins Ven *dixit ei*) .. C ἔφη πρὸς τὸν Ἰησοῦν (item Fabr) | Δυσμᾶς cum A Eins Cors .. C (Ven Fabr) ὁ ἕτερος Δημὰς .. B ὁ ἕτερος | ἐπετίμα cum AB .. C ἐπετίμησεν | Οὐδέν cum A*C .. BA** Latt οὐδέ | B φοβεῖ | B ἐν αὐτῷ τῷ κρίμ. (Ven *in ipso crimine*) | εἶ .. A ἐσμέν | κακὸν ἐποίησεν cum C .. AB ἄτοπον ἔπραξεν | καὶ ἔλεγεν (A add Δυσμᾶς) τῷ Ἰησοῦ (Ven nil nisi *et dixit*) cum C Cors (A Ven) .. B καὶ εἶπεν ὁ ἐπιτιμήσας τὸν ἕτερον αὐτοῦ .. Fabr *et post haec suspirans dix. ad Iesum*; Eins *et postquam conturbavit socium suum dicit Iesu* | ἐν τῇ βασ. σου cum A Eins .. BC Fabr Cors Ven praem ὅταν ἔλθῃς | εἶπεν δὲ αὐτῷ ὁ Ἰησοῦς cum BC Latt .. A ὁ δὲ Ἰησοῦς | Ἀμὴν ἀμήν cum AB .. C Latt Ἀμήν | λέγω σοι cum AB Latt .. C add Δημᾶ | ὅτι cum B Fabr Ven .. AC Eins Cors om | ἐν τῷ παραδ. εἶ cum B .. AC Latt ἔσῃ ἐν τ. παραδ.

XI, 1. ὡσεὶ ὥρα cum AB .. C ὡς ὥρα | ἐπὶ τὴν (ita C; A ἐπὶ πᾶσαν τήν, B ἐφ' ὅλην τήν, item Latt *super universam terram*) γῆν h. l. cum AC Latt .. B post ἐννάτης habet | ἐνάτης: ita A; B ἐννάτης; C θ' | τοῦ ναοῦ .. C om τοῦ | μέσον cum B Ven Vatt; item A additis ἀπὸ ἄνωθεν ἕως κάτω .. C Eins Cors Fabr εἰς δύο (haec om Fabr) ἀπ' ἄνωθεν ἕως κάτω | φωνῇ μεγάλῃ (B -νὴν -λην) ὁ Ἰησοῦς cum BC .. A ὁ Ἰησ. φ. μεγ. | Πατήρ cum B .. AC πάτερ (scribitur ut solet πε̄ρ) | βαδδὰχ (ita C; B βαραχάχ) ἐφκὶδ (C ἐθκίδ, B ἐφεκέδ) ῥουέλ (ita B, C δοήλ) [cf. Ps. 30, 6. בְּיָדְךָ אַפְקִיד רוּחִי], ὃ ἑρμηνεύεται Εἰς χεῖράς (ita B; C χεῖρά) σου παρατίθημι (ita C; B παραθήσομαι) τὸ πν. μ. cum BC, similiterque Ven .. A εἰς χεῖράς σου παρατίθημι τὸ πν. μ. (item Eins aliique sed praem *Hely Hely* etc, cf. ad text. lat) | τοῦτο cum AC .. B Latt ταῦτα | παρέδωκε τὸ πνεῦμα cum C .. A ἐξέπνευσεν .. B ἐκοιμήθη .. Latt *emisit spiritum*, Cors *exspiravit* | ἰδὼν δέ cum AC Latt .. B καὶ ἰδών | τὸ γενόμενον cum AC Latt .. B om | ὅτι cum BC .. A ὄντως | ὁ ἄνθρωπος .. B om ὁ | ἦν cum AB Latt .. C ἐστιν | παραγενόμενοι (B -νάμε-

γενόμενοι ὄχλοι ἐπὶ τὴν θεωρίαν ταύτην, θεωροῦντες τὰ γενόμενα. τύπτοντες ἑαυτῶν τὰ στήθη ὑπέστρεφον.

2 Ὁ δὲ ἑκατόνταρχος ἀνήνεγκεν τῷ ἡγεμόνι τὰ γενόμενα. ἀκούσας δὲ ὁ ἡγεμὼν καὶ ἡ γυνὴ αὐτοῦ ἐλυπήθησαν σφόδρα. καὶ οὐκ ἔφαγον οὐδὲ ἔπιον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. μεταπεμψάμενος δὲ ὁ Πιλᾶτος τοὺς Ἰουδαίους εἶπεν αὐτοῖς Ἐθεωρήσατε τὰ γενόμενα; οἱ δὲ λέγουσιν Ἔκλειψις ἡλίου γέγονεν κατὰ τὸ εἰωθός.

3 Εἱστήκεισαν δὲ οἱ γνωστοὶ αὐτοῦ ἀπὸ μακρόθεν, καὶ γυναῖκες αἱ συνελθοῦσαι αὐτῷ ἀπὸ τῆς Γαλιλαίας ὁρῶσαι ταῦτα. ἀνὴρ δέ τις ὄνομα Ἰωσήφ, βουλευτὴς ἀπὸ Ἀριμαθαίας πόλεως ὑπάρχων, προσδεχόμενος καὶ αὐτὸς τὴν βασιλείαν τοῦ θεοῦ, οὗτος προσελθὼν τῷ Πιλάτῳ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. καὶ

---

νοι) cum AB .. C παραπορευόμενοι | A om ὄχλοι | ϑεωροῦντες (A ἰδόντες) cum BA Eins Ven .. C καὶ ϑεωρ. | τὰ γενόμενα .. B τὰ γεγεννημένα | ἑαυτῶν cum AB .. C αὐτῶν

2. ἀνήνεγκεν cum AC .. B ἀνήγαγεν | τῷ ἡγεμόνι cum AC Latt .. B τῷ Πιλάτῳ | τὰ γενόμενα cum A Eins Cors, item praemisso ἅπαντα C Fabr .. B om | ὁ ἡγεμὼν cum AC Latt .. B ὁ Πιλᾶτος | καὶ ἡ γυνὴ αὐτοῦ cum ABC Vatt Ven .. Eins Fabr Cors om | καὶ οὐκ ἔφ. οὐδὲ ἔπ. cum AC Latt (*et non manduc. neque biberunt*) .. B καὶ οὔτε ἔφαγ. οὔτε ἔπιον | ἐν (C om) τῇ ἡμ. ἐκ. cum AC .. B τὴν ἡμέραν ἐκείνην | μεταπεμψάμ. δὲ ὁ Πιλ. τοὺς Ἰουδ. εἶπεν αὐτ. cum A Eins Cors .. B μετεπέμψατο δὲ ὁ Πιλ. πρὸς τοὺς Ἰουδ. καὶ λέγει αὐτοῖς .. C καὶ μετέπεμψεν ὁ Πιλ. τοῖς Ἰουδαίοις κ. εἶπ. αὐτ. | Ἐϑεωρήσατε .. A Εἶδε (corrige Εἴδετε) | τὰ γενόμενα (B -νάμενα) .. A add σημεῖα | λέγουσιν cum AB .. C εἶπον αὐτῷ | γέγονεν .. B γεγέννηται | κατὰ τὸ εἰωϑός: solus A add haec: Ἔφη αὐτοῖς ὁ Πιλᾶτος Μιαρώτατοι, οὕτως εἰς πάντα ἀληϑεύετε; ἐγὼ οἶδα οὐκ ἄλλοτέ ποτε τοῦτο γενόμενον εἰ μὴ ἐν σελήνης γέννᾳ. τὸ γὰρ πάσχα ὑμῶν τῇ χϑὲς ἡμέρᾳ ἐφάγετε τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ μηνός, καὶ λέγετε ὅτι ἔκλειψις ἡλίου ἐγένετο.

3. οἱ γνωστοί cum B Vatt Ven .. AC Eins aliique πάντες οἱ γν. | αὐτοῦ cum B omnibusque Latinis .. AC τῷ (C τοῦ) Ἰησοῦ | A om ἀπό | καὶ γυναῖκες cum AC .. B καὶ αἱ γυναῖκ. | αἱ συνελϑοῦσαι αὐτῷ cum A .. BC (Latt) αἱ συνακολουϑήσασαι (C -ϑοῦσαι) αὐτῷ (C om) | ὁρῶσαι ταῦτα .. B add γενόμενα | ἀνὴρ δέ τις ὄνομα cum A .. BC Latt καὶ (Eins aliique om) ἰδοὺ ἀνὴρ (Latt *vir quidam*) ὀνόματι Ἰωσήφ | βουλευτὴς ἀπὸ Ἀριμαϑαίας πόλεως ὑπάρχων cum A .. BC βουλευτὴς (C Λευίτης) ὑπάρχων, ἀνὴρ ἀγαϑὸς καὶ δίκαιος, οὗτος οὐ συγκατέϑετο τῇ βουλῇ καὶ τῇ πράξει αὐτῶν (ita B; C οὗτος οὐκ ἦν sequente statim τὴν βασιλείαν τοῦ ϑεοῦ, ita ut plura exciderint), ἀπὸ Ἀριμαϑείας (ita codex) πόλεως τῶν Ἰουδαίων. Similiterque habent Latini, quamquam satis variant | προσδεχόμενος καὶ αὐτὸς τὴν βασ. τοῦ ϑεοῦ cum B, item Latt .. A ὃς καὶ αὐτὸς προσεδέχετο τὴν βασ. τ. ϑεοῦ .. C (vide ante) nil nisi τὴν β. τ. ϑ. | B οὗτος προσελϑὼν (B προσῆλϑεν) τῷ Πιλάτῳ (B add καὶ) ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ .. praeterea C (item Fabr *et praeses permisit*) invitis AB Eins

καθελὼν αὐτὸ ἐνετύλιξεν ἐν σινδόνι καθαρᾷ, καὶ ἔθηκεν αὐτὸ ἐν μνημείῳ λαξευτῷ, ἐν ᾧ οὐδεὶς οὐδέπω ἦν κείμενος.

## Caput XII.

1 Ἀκούσαντες δὲ οἱ Ἰουδαῖοι ὅτι τὸ σῶμα τοῦ Ἰησοῦ ᾐτήσατο ὁ Ἰωσήφ, ἐζήτουν αὐτὸν καὶ τοὺς δώδεκα τοὺς εἰπόντας ὅτι οὐ γεγέννηται ἐκ πορνείας ὁ Ἰησοῦς, καὶ τὸν Νικόδημον καὶ ἄλλους ἑτέρους πολλούς, οἵτινες παραπηδήσαντες ἔμπροσθεν τοῦ Πιλάτου τὰ ἔργα αὐτοῦ ἐφανέρωσαν τὰ ἀγαθά. πάντων δὲ ἀποκρυβέντων μόνος ὁ Νικόδημος ὤφθη αὐτοῖς, ὅτι ἀνὴρ ἄρχων ἦν τῶν Ἰουδαίων· καὶ λέγει αὐτοῖς ὁ Νικόδημος Πῶς εἰσήλθατε εἰς τὴν συναγωγήν; λέγουσιν αὐτῷ οἱ Ἰουδαῖοι Σὺ πῶς εἰσῆλθες εἰς τὴν συναγωγήν; ὅτι συνίστωρ αὐτοῦ εἶ, καὶ τὸ μέρος αὐτοῦ μετὰ σοῦ ἐν τῷ μέλλοντι αἰῶνι. λέγει ὁ Νικόδημος Ἀμὴν ἀμήν. ὁμοίως δὲ καὶ ὁ Ἰωσὴφ παρεκβὰς εἶπεν αὐτοῖς Τί ὅτι ἐλυπήθητε κατ' ἐμοῦ, διότι ᾐτησάμην τὸ σῶμα τοῦ Ἰησοῦ; ἰδοὺ ἐν τῷ

---

Cors Vatt Ven addit καὶ ἐπέτρεψεν ὁ Πιλᾶτος ἀποδοθῆναι τὸ σῶμα | καθελὼν αὐτό (A add ἀπὸ τοῦ ξύλου, Eins Cors *de cruce*) cum AB .. C καθ. αὐτόν (item Latt) | ἐν σινδόνι cum B Latt .. AC om ἐν | ἔθηκεν cum BC .. A ἔθετο | αὐτό cum BC .. A om. (Latt rursus αὐτόν reddunt) | ἐν μνημείῳ λαξευτῷ cum C .. A ἐν μνήματι λαξευτῷ καινῷ .. B ἐν τῷ καινῷ (cod. κενῷ) αὐτοῦ μνημείῳ .. similiter Latini variant | οὐδεὶς οὐδέπω ἦν κείμενος cum B .. C οὐκ ἦν οὐδέπω [adde οὐδείς?] κείμενος .. A (ita Latinorum nullus) οὐδέποτέ τις τῶν θανόντων ἐτέθη

XII, 1. τὸ σῶμα τ. Ἰ. ᾐτήσατο ὁ Ἰωσήφ cum AC Eins Ven Vatt .. B ὁ Ἰωσ. ᾐτήσ. τὸ σῶμα τ. Ἰ. | ἐζήτουν αὐτόν cum AB Latt .. C καὶ ἐζήτ. καὶ αὐτόν | τοὺς δώδεκα τούς cum AC .. B Latt τ. δώδ. ἄνδρας τούς | ὁ Ἰησοῦς cum BC .. A Latt om | καὶ τὸν Νικόδ. -- πολλούς cum BC et Latt plerisque .. A om | οἵτινες παραπηδήσαντες -- τὰ ἔργ. αὐτοῦ (B om) ἐφ. τὰ ἀγ. (B add τοῦ Ἰησοῦ) cum BC et Latt plerisque .. A οἵτινες ἐφανέρωσαν τὰ ἔργα αὐτοῦ ἔμπροσθεν τοῦ Πιλάτου | μόνος (C μόνον) cum AC Latt .. B μὴ γνούς | ἦν τῶν Ἰουδ. cum A .. BC τῶν Ἰουδ. ἦν | ὁ Νικόδημος cum BC .. A Latt om | εἰσήλθατε cum BC .. A εἰσήλθετε | εἰς τ. συναγωγ. cum AB .. C ut videtur ἐν τῇ συναγωγῇ | λέγουσιν αὐτῷ (ita B Vatt Ven Eins Cors Fabr; C om) οἱ Ἰουδ. (Eins Cors om) cum BC Latt .. A οἱ δὲ εἶπον | Σὺ πῶς -- συνίστωρ (B συνείστωρ, C συνήστορ) αὐτοῦ εἶ (ita B Ven Vatt, item [vide post] A; C Eins aliique ἦς) -- αἰῶνι cum BC, similiter Latt .. A Θεωροῦμεν ὅτι συνήγορος καὶ μαθητὴς αὐτοῦ εἶ, καὶ τὸ μέρος αὐτοῦ ἔχειν σε φαμὲν (hos accentus cod. habet) ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι | Ἀμὴν ἀμήν cum BC (Latt plerique ter habent *Amen*) .. A alterum om | ὁμ. δὲ καί cum AB .. C δέ .. Ven Fabr *similiter et*, Eins Vatt Cors *similiter* | παρεκβάς cum BC Latt .. A om | Τί ὅτι cum A .. B Ὅτι, C Τί | κατ' ἐμοῦ cum AB .. C παρ' ἐμοῦ | διότι cum

καινῷ μου μνημείῳ ἔθηκα αὐτόν, ἐντυλίξας αὐτὸν ἐν σινδόνι καθαρᾷ, καὶ ἐπεκύλισα λίθον ἐπὶ τὴν θύραν τοῦ μνημείου. καὶ οὐ καλῶς ἐπράξατε κατὰ τοῦ δικαίου, ὅτι οὐ μετεμελήθητε σταυρώσαντες αὐτόν, ἀλλὰ καὶ λόγχῃ αὐτὸν ἐκεντήσατε. κρατήσαντες δὲ οἱ Ἰουδαῖοι τὸν Ἰωσὴφ ἐκέλευσαν αὐτὸν ἀσφαλισθῆναι μέχρι τῆς μιᾶς τοῦ σαββάτου, καὶ λέγουσιν αὐτῷ Γίνωσκε ὅτι ἡ ὥρα οὐκ ἀπαιτεῖ πρᾶξαί τι κατὰ σοῦ, ὅτι σάββατον διαφαύει· γίνωσκε δὲ ὅτι οὐδὲ ταφῆς καταξιωθήσῃ, ἀλλὰ δώσωμεν τὰς σάρκας σου τοῖς πετεινοῖς τοῦ οὐρανοῦ. λέγει αὐτοῖς ὁ Ἰωσήφ Οὗτος ὁ λόγος τοῦ ὑπερηφάνου ἐστὶν Γολιάθ, ὃς ὠνείδισεν θεὸν ζῶντα καὶ τὸν ἅγιον Δαυίδ. εἶπεν γὰρ ὁ θεὸς διὰ τοῦ προφήτου Ἐμοὶ ἐκδίκησις, κἀγὼ ἀνταποδώσω, λέγει κύριος. καὶ νῦν ὁ ἀκρόβυστος τῇ σαρκὶ καὶ περιτεμνόμενος τῇ καρδίᾳ λαβὼν

---

A .. BC ὅτι | ἰδοὺ ἐν τῷ καινῷ (B κενῷ, C κήπῳ) μου μνημ. (B μν. μου) ἔθηκα (B τέθηκα sic) αὐτόν (ita B Latt; C αὐτό) ἐντυλ. αὐτὸν (ita B Latt; C αὐτό) ἐν (ita B; C om) -- θύρ. τ. μνημείου (ita C Vatt aliique, B Fabr aliique τ. σπηλαίου) cum CB et Latt plerisque .. A nil nisi καὶ ἀπεθέμην αὐτὸ ἐν σινδόνι, Ven *et posui eum in monumento* | καὶ οὐ καλῶς .. A γνῶτε οὖν ὅτι οὐ καλῶς | τοῦ δικαίου cum BC Latt; A add τούτου | ὅτι οὐ .. A οὐδέ | ἀλλὰ καί cum AB .. C καλάμην καί | λόγχῃ αὐτὸν ἐκεντήσατε cum A (Eins *lanceastis eum*, Vatt *lancea eum perforantes*, Ven *lancea perforastis*) .. BC λόγχην αὐτῷ ὑπεβάλετε (B -βάλλετε) | κρατήσαντες δὲ οἱ Ἰουδ. τὸν Ἰωσ. ἐκέλευσαν αὐτὸν ἀσφαλισθῆναι (A τ. Ἰ. καὶ κατακλείσαντες ἠσφαλίσαντο) μέχρι τῆς μιᾶς τοῦ σαββάτου (A μέχρι τῆς κυριακῆς) cum BA Vatt Ven .. C (similiterque Eins Cors Fabr) ταῦτα ἀκούσαντες οἱ Ἰουδαῖοι παρὰ τοῦ Ἰωσὴφ εὐθὺς κρατήσαντες αὐτὸν ἐκέλευσαν ἀσφαλισθῆναι αὐτὸν μέχρι τῆς ἡμέρας τοῦ σαββάτου | καὶ λέγουσιν αὐτῷ cum B Vatt Ven Eins aliisque .. C ἔλεγον οὖν αὐτῷ .. A εἰπόντες | Γίνωσκε ὅτι cum BC Latt .. A om | ἡ ὥρα οὐκ ἀπαιτεῖ cum BC, item Latt (Vat[a] *hora non exigit*, Vat[b] *hora non est competens*, Ven Fabr Eins *hac hora incompetit* [Ven Fabr *non competit*]; Cors *hac hora non compotes sumus*) .. A ἡ ὥρα οὐ δίδωσι | κατὰ σοῦ cum AB .. C μετὰ σοῦ | διαφαύει cum BC .. A ἐπιφώσκει | γίνωσκε δὲ (cod. om) ὅτι cum C Latt (Vatt Ven *cognosce autem quia*, Eins Cors Fabr *scimus autem quia*) .. B ἐπεί .. A καί | οὐδέ cum AB .. C οὔτε | καταξιωθήσῃ cum A .. B ἀξιοῦσαι, C ἀξιούσῃ .. Latt *dignus eris* (*es*) | δώσωμεν cum BC .. A δώσομεν | τὰς σάρκας σου cum AB .. C τὰ κρέη (sic) σου | τ. πετ. τοῦ οὐρανοῦ cum AC .. B add καὶ τοῖς θηρίοις τῆς γῆς παραδώσωμεν, item omisso παραδώσ. Latt | ὁ Ἰωσήφ cum AB .. C om ὁ | ἐστὶν Γολιάθ cum C .. AB Γολ. ἐστίν | B ὀνείδισεν | εἶπεν γάρ cum AB Ven Fabr .. C Eins Cors εἶπε δέ | διὰ τοῦ προφήτου cum A Latt .. C διὰ τῶν προφητῶν .. B om | κἀγώ cum B Ven Fabr Eins Cors .. AC Vatt ἐγώ | καὶ νῦν ὁ ἀκρόβ. (A add μὲν) τῇ σαρκὶ (cum BC; A τῷ σαρκίῳ) καὶ (A om) περιτεμνόμενος (ita C, B περιτεμνημένος; A περιτετμημένος δὲ) τῇ καρδίᾳ .. Eins Cors *Et obstructus corde Pilatus*: Vatt Ven *Nam et* (*Unde*, *Et nonne*) *venerabilis*

ὕδωρ ἀπενίψατο τὰς χεῖρας αὐτοῦ κατέναντι τοῦ ἡλίου λέγων Ἀθῷός εἰμι ἐγὼ ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου· ὑμεῖς ὄψεσθε. καὶ ἀποκριθέντες τῷ Πιλάτῳ εἴπατε Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. καὶ νῦν φοβοῦμαι μή ποτε φθάσει ἡ ὀργὴ κυρίου ἐφ' ὑμᾶς καὶ ἐπὶ τὰ τέκνα ὑμῶν, καθὼς εἴπατε. ἀκούσαντες δὲ οἱ Ἰουδαῖοι τοὺς λόγους τούτους ἐπικράνθησαν τῇ ψυχῇ, καὶ ἐπιλαβόμενοι τὸν Ἰωσὴφ ἐκράτησαν αὐτὸν καὶ ἐνέκλεισαν εἰς οἶκον ὅπου οὐκ ἦν θυρίς, καὶ παραφύλακες παρέμειναν τῇ θύρᾳ· καὶ ἐσφράγισαν τὴν θύραν ὅπου ἦν ἐγκεκλεισμένος Ἰωσήφ.

2 Τῷ δὲ σαββάτῳ ὅρον ὥρισαν οἱ ἀρχισυνάγωγοι καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται ὥστε πάντας εὑρεθῆναι ἐν τῇ συναγωγῇ τῇ μιᾷ τοῦ σαββάτου. καὶ ὀρθρίσαντες ἅπαν τὸ πλῆθος ἐν τῇ συναγωγῇ ἐβουλεύσαντο ποίῳ θανάτῳ ἀποκτείνωσιν αὐτόν. καθεσθέντος δὲ τοῦ συνεδρίου ἐκέλευσαν αὐτὸν ἀχθῆναι μετὰ ἀτιμίας

---

*praeses* | τὰς χεῖρ. αὐτ. h. l. cum A Latt; B post κατ. τ. ἡλίου .. C om | κατέναντι cum AB .. C ἀπέναντι | τοῦ ἡλίου cum BC Eins Cors Ven (Vatt Fabr om) .. A τοῦ λαοῦ | εἰμὶ ἐγώ cum B Vatt Ven Fabr .. AC Eins Cors om ἐγώ | τοῦ δικ. τούτου cum AB Latt .. C τούτ. τ. δικ. | ὑμεῖς ὄψεσθ. cum AC Vatt Ven Eins Cors .. B Fabr om | καὶ ἀποκριθέντες τῷ Πιλ. εἴπατε cum C et Latt plerisque .. B (item Ven) καὶ ἀπεκρίθητε τ. Πιλ. λέγοντες (Ven om λέγ.) .. A αὐτοὶ δὲ ὑμεῖς εἴπατε | καὶ νῦν φοβοῦμαι -- φθάσει (sic) -- ἐφ' ὑμᾶς (*super nos*) -- ὑμῶν (*nostros*) καθὼς εἴπατε cum B Eins .. A εἶπε δὲ ὁ Πιλᾶτος Φοβοῦμαι μή ποτε φθάσῃ ἡ ὀργὴ κυρίου ἐφ' ἡμᾶς .. C nil nisi καθὼς εἴπατε (transiluit ab altero τὰ τέκνα ἡμῶν ad alterum τὰ τέκνα ὑμῶν), similiter Cors Fabr | ἐπικράνθησαν τῇ ψυχῇ cum C Vatt (item Fabr aliique *exacerbati sunt animo nimis*) .. B ἐπικράνθ. σφόδρα .. A ἐπικράνθησαν | καὶ ἐπιλαβόμ. τ. Ἰωσ. ἐκράτησαν αὐτὸν καί cum BC Eins .. A Fabr aliique καὶ κρατήσαντες τὸν Ἰωσήφ | ἐνέκλεισαν cum AB .. C (Latt) add αὐτόν | εἰς οἶκον (B add σκοτεινόν) cum BC item (*in domo, in domum*) Vatt Ven .. A Eins aliique ἐν οἰκήματι (*in cubiculo, in cubiculum*) | ὅπου οὐκ ἦν θυρίς cum A Vatt Eins aliisque .. BC Ven ὅπου θυρὶς οὐκ ἦν | καὶ παραφύλακες (C παραθήλακες) παρέμ. τῇ θύρᾳ (C τὴν θύραν) cum BC .. A καὶ φύλακες ἐτήρουν τὴν θύραν | καὶ ἐσφράγισαν τὴν θύρ. ὅπου ἦν ἐγκ. Ἰωσ. cum B Vat[a] Ven, similiterque Fabr aliique .. A ἐσφραγισμένην (cum praecedentibus coniungens) .. C Vat[b] om

2. Τῷ δὲ σαββάτῳ cum AB .. C Καὶ τῷ σαββ. | ὅρον (B ὄρθρον) ὥρισαν (B ὅρισαν) cum AB .. C ὥρισαν | καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται cum BC .. A ἱερεῖς τε καὶ Λευ. | πάντας εὑρεθῆναι (A add τοὺς μετ' αὐτοῦ) cum AC .. B πάντ. συναχθῆναι (Fabr aliique *congregarentur omnes*) | ὀρθρίσαντες (A ὀρθρίσαν) ἅπαν τὸ πλῆθος (A add τῶν Ἰουδαίων) cum BA .. C ὀρθρίσαντες ἅπαντες | ἐβουλεύσαντο cum A (sic) C .. B ἐβούλευσαν | ἀποκτ. αὐτόν cum AB Vatt Ven .. C Fabr aliique ἀποκτ. τὸν Ἰωσήφ | καθεσθέντος δέ cum A .. B καθίσαντος δέ .. C καθημένου | C ἐκέλευσεν | μετὰ ἀτιμ. πολλῆς (*cum iniuria multa, cum*

πολλῆς. καὶ ἀνοίξαντες τὴν θύραν οὐχ εὗρον αὐτόν. καὶ ἐξέστη πᾶς ὁ λαός, καὶ ἔκθαμβοι ἐγένοντο ὅτι τὰς σφραγῖδας εὗρον ἐσφραγισμένας, καὶ ὅτι τὴν κλεῖδαν εἶχεν ὁ Καϊάφας. καὶ οὐκέτι ἐτόλμησαν ἐπιβαλεῖν τὰς χεῖρας αὐτῶν εἰς τοὺς λαλήσαντας ἔμπροσθεν τοῦ Πιλάτου ὑπὲρ τοῦ Ἰησοῦ.

## Caput XIII.

1 Ἔτι δὲ αὐτῶν καθεζομένων ἐν τῇ συναγωγῇ καὶ θαυμαζόντων διὰ τὸν Ἰωσὴφ ἔρχονταί τινες τῆς κουστωδίας, οὓς ἠτήσαντο οἱ Ἰουδαῖοι παρὰ τοῦ Πιλάτου τηρεῖν τὸν τάφον τοῦ Ἰησοῦ, ἵνα μή ποτε ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ κλέψωσιν αὐτόν. καὶ ἀνήγγειλαν λέγοντες τοῖς ἀρχισυναγώγοις καὶ τοῖς ἱερεῦσι καὶ τοῖς Λευίταις τὰ γεγονότα· τὸ πῶς ἐγένετο σεισμὸς μέγας, καὶ εἴδομεν ἄγγελον καταβάντα ἐξ οὐρανοῦ, καὶ ἀπεκύλισεν τὸν λί-

---

*magna iniuria)* cum BC Vatt Ven .. A μετὰ πάσης ἀτιμίας .. Fabr aliique om | τὴν θύραν cum AC Vatt Ven aliisque .. B τὰς θύρας | B ἔκθαμβος ἐγένετο | τὰς σφρ. εὗρον (B ηὗραν) ἐσφραγισμένας cum B Vatt (*signatis signaculis*) Ven (*signacula invenerunt signata et portam clausam*) .. A τ. σφρ. εὗρ. σώας .. C τ. σφρ. εὗρ. καὶ τὰς θύρας ἐσφραγισμένας .. Fabr aliique libere *signatam invenerunt clavem cubiculi* (omissis seqq. καὶ ὅτι τὴν κλ. etc) | καὶ ὅτι (A om) τὴν κλεῖδαν (ita BC; A κλεῖδα) εἶχ. ὁ Καϊάφ. cum (A)BC Vatt Ven .. de Fabr. aliisque vide ante | καὶ οὐκέτι cum AB Vatt .. C add λοιπόν | ἐπιβαλεῖν τ. χ. αὐτῶν cum BC Vatt .. A τ. χ. αὐτ. ἐπιβ. | εἰς (C ἐπὶ) τοὺς λαλήσαντας cum BC Vatt .. A τοῖς ἄλλοις Ἰουδαίοις τοῖς λαλήσασιν | ὑπέρ (*pro*) cum B Vatt .. AC περί

XIII, 1. Ἔτι δὲ -- ἐν τῇ συναγωγῇ (A haec om) -- διὰ τ. Ἰωσ. (A haec om) ἔρχοντ. τινες τῆς κουστωδ. (A ἔρχ. οἱ ἐκ τῆς κουστ. ὑπηρέται), οὓς (B add καὶ) ἠτήσ. -- παρὰ τοῦ Πιλάτου (A haec om) -- ἵνα μή ποτε ἐ. οἱ μαθ. αὐτοῦ (C om) κλέψ. αὐτόν (pro ἵνα usque αὐτόν A habet πρὸς τὸ μὴ κλαπῆναι αὐτὸν ὑπὸ τῶν μαθητῶν αὐτοῦ) cum BCA Vatt (similiter etiam Ven) .. Fabr Eins Cors *Haec omnibus admirantibus* (Cors *Et* pro his) *ecce quidam* (Cors om) *de militibus qui sepulcrum custodiebant* (Cors *-dierant*) | καὶ ἀνήγγειλαν (ita AC; B ἀπήγγ.) λέγοντες τοῖς ἀρχ. κ. τ. ἱερ. κ. τ. Λευ. (ita B Vatt Ven; A nil nisi λέγοντες; C corrupte τοῖς ἀρχιερεῦσιν κ. τ. ἀρχισυναγώγοις καὶ Λευ. λέγουσιν) τὰ γεγονότα (A om) cum B Vatt Ven, item C, item A .. Eins Fabr Cors *intrans* (Cors *intrantes*) *in* (Cors om) *synagogam* (Fabr *-goga*) *dixit* (Cors *dixerunt*) | τὸ πῶς cum BC (male ante τὰ γεγονότα ponit) Vatt Ven .. A Fabr aliique ὅτι | ἐγένετο σεισμ. μέγας cum BC Ven .. A Vatt σεισμ. ἐγέν. μέγας. Praeterea B add τηρούντων ἡμῶν τὸν τάφον, item C ἡμῶν γὰρ τηρούντων ἐγένετο, item Vat[a] *illis custodientibus eum* (similiter Fabr aliique *nobis custodientibus monumentum Iesu facta est terrae motio*) .. nihil addidi cum A Vat[b] Ven | εἴδομεν (C ἴδ.) cum AC .. B ἴδαμεν | ἄγγελον καταβάντα cum A .. BC πῶς ἄγγ. (B Vatt add κυρίου

θον ἀπὸ τοῦ στόματος τοῦ μνημείου καὶ ἐκάθισεν ἐπάνω αὐτοῦ· καὶ ἔλαμψεν ὡσεὶ χιὼν καὶ ὡς ἀστραπή. καὶ ἡμεῖς πολλὰ φοβηθέντες ἐκείμεθα ὡσεὶ νεκροί. καὶ ἠκούσαμεν τῆς φωνῆς τοῦ ἀγγέλου λαλοῦντος ταῖς γυναιξίν, αἵτινες παρέμενον τῷ τάφῳ, ὅτι μὴ φοβεῖσθε ὑμεῖς· οἶδα γὰρ ὅτι Ἰησοῦν ζητεῖτε τὸν ἐσταυρωμένον. οὐκ ἔστιν ὧδε· ἠγέρθη καθὼς εἶπεν· δεῦτε ἴδετε τὸν τόπον ὅπου ἔκειτο ὁ κύριος. καὶ ταχὺ πορευθεῖσαι εἴπατε τοῖς μαθηταῖς αὐτοῦ ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ ἔστιν ἐν τῇ Γαλιλαίᾳ.

[2] Λέγουσιν οἱ Ἰουδαῖοι Ποίαις γυναιξὶν ἐλάλει; λέγουσιν οἱ τῆς κουστωδίας Οὐκ οἴδαμεν ποῖαι ἦσαν. λέγουσιν οἱ Ἰουδαῖοι Ποίᾳ ὥρᾳ ἦν; λέγουσιν οἱ τῆς κουστωδίας Μέσης νυκτός. λέγουσιν οἱ Ἰουδαῖοι Καὶ διὰ τί οὐκ ἐκρατήσατε αὐτ ́ς; λέγουσιν

---

Ven aliique *dei*) κατέβη | ἀπὸ τοῦ στόματος cum A .. BC ἀπ. τῆς θύρας .. Vatt Ven *ab ostio*, Fabr aliique om | τοῦ μνημείου cum AC .. B τ. σπηλαίου | ἐκάθισεν cum A .. BC ἐκάθητο | καὶ ἔλαμψεν ὡσεὶ χιὼν καὶ ὡς ἀστραπή cum A .. BC Latt ἦν δὲ ἡ ἰδέα αὐτοῦ (haec omnia B om) ὡς ἀστραπή, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών | καὶ ἡμεῖς πολλὰ φοβηθ. ἐκείμεθα ὡσεὶ νεκροί cum A .. BC Latt ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ ἐγενόμεθα ὡσεὶ νεκροί | ἠκούσ. τῆς φωνῆς τοῦ ἀγγ. λαλοῦντος (B τοῦ λαλοῦντ. ἀγγ.) cum AB Vatt Ven .. C Fabr aliique ἠκ. τοῦ ἀγγέλου λέγοντος | αἵτ. παρέμενον (ita A; BC παρέμειναν) τῷ τάφῳ (C τὸ σῶμα. BC add τοῦ Ἰησοῦ, non item A) cum ABC .. Fabr Eins *ad sepulcrum Iesu*, Cors *quae venerant ad sepulcrum Christi* .. Vatt Ven om | ὅτι μὴ φοβ. ὑμ. cum A .. BC om ὅτι. Praeterea C praem καὶ ἔλεγε, B καὶ λέγει αὐταῖς, Ven *et dicentis*, Vat[a] *et dicens*, Cors *et dixit angelus*; sed nihil addidi cum A Vat[b] Fabr Eins | ζητεῖτε τὸν ἐσταυρ. cum C Fabr Eins Cors .. AB Vatt Ven τὸν ἐσταυρ. ζητ. | ἠγέρθη cum AB Vatt Eins aliisque .. C Ven add γάρ | δεῦτε ἴδετε cum AC .. B Latt δεῦτ. καὶ ἴδ. | ὁ κύριος cum ABC Vatt Ven .. Fabr aliique om | τοῖς μαθηταῖς αὐτοῦ .. Vat[a] add *et Petro* | καὶ ἔστιν (hunc accentum ipse cod. habet) ἐν τῇ Γαλιλαίᾳ cum A .. BC Latt καὶ ἰδοὺ (Vatt Fabr aliique om) προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν (καθὼς etc C Vatt aliique; B Ven Eins ἰδοὺ εἶπον ὑμῖν)

2. Λέγουσιν οἱ Ἰουδ. Ποίαις γυν. ἐλάλει (ita C Vatt Ven, item *Quae sunt mulieres illae ad quas angelus locutus est* Fabr Eins Cors; B Οὐκ οἴδατε ποῖαι ἦσαν αἱ γυναῖκες); λέγουσιν (C om) οἱ τ. κουστ. Οὐκ οἴδαμεν π. ἦσ. (ita BC Vatt, item omissis π. ἦσ. Ven; Eins aliique coniungunt hanc et alteram quaestionem, item utramque responsionem in unam contrahunt) .. A haec om (transiluisse videtur ab altero λέγουσιν οἱ Ἰουδ. ad alterum) | λέγουσ. οἱ Ἰουδ. Ποίᾳ ὥρᾳ (*Qua hora*) ἦν; λ. οἱ τῆς κουστ. Μέσης νυκτ. cum B Vatt Ven .. AC (Fabr aliique) om | Καὶ διὰ τί cum AB Vatt .. C Ven om Καί | αὐτάς cum A Vatt Fabr aliisque .. BC τὰς γυναῖκας, Ven *mulieres istas* | λέγουσιν οἱ τῆς κουστ. πρὸς τοὺς Ἰουδ. cum B Vatt, item omissis πρ. τ. Ἰ. C .. A λέγ. οἱ στρατιῶται ..

οἱ τῆς κουστωδίας Ὡς νεκροὶ ἐγενόμεθα ἀπὸ τοῦ φόβου, μὴ ἐλπίζοντες ἰδεῖν τὸ φῶς τῆς ἡμέρας, καὶ πῶς εἴχομεν κρατῆσαι αὐτάς; λέγουσιν οἱ Ἰουδαῖοι Ζῇ κύριος, οὐ πιστεύομεν ὑμῖν. λέγουσιν οἱ τῆς κουστωδίας πρὸς τοὺς Ἰουδαίους Τοσαῦτα σημεῖα εἴδετε εἰς τὸν ἄνθρωπον ἐκεῖνον καὶ οὐκ ἐπιστεύσατε, καὶ ἡμῖν πῶς ἔχετε πιστεῦσαι; καὶ γὰρ καλῶς ὠμόσατε ὅτι ζῇ κύριος· καὶ γὰρ ἐκεῖνος ζῇ. πάλιν λέγουσιν οἱ τῆς κουστωδίας Ἡμεῖς ἠκούσαμεν ὅτι τὸν αἰτησάμενον τὸ σῶμα τοῦ Ἰησοῦ ἐνεκλείσατε αὐτόν, σφραγίσαντες τὴν θύραν, καὶ ἀνοίξαντες οὐχ εὕρατε αὐτόν. δότε οὖν ὑμεῖς ὃν ἐφυλάττετε, καὶ ἡμεῖς δώσομεν τὸν Ἰησοῦν. λέγουσιν οἱ Ἰουδαῖοι Ὁ Ἰωσὴφ εἰς τὴν πόλιν

Ven nil nisi *responderunt* | Ὡς (B ὡσεὶ) νεκροὶ ἐγενόμεθα (B ἐγενάμεθα) -- μὴ ἐλπίζοντες (ita A Vatt Ven; B μὴ προσδοκῶντες) -- καὶ πῶς εἴχ. κρ. αὐτάς (haec cum A Vatt, similiter Fabr aliique; B Ven om) -- Ζῇ κύριος (B ὁ κύρ.), οὐ (B add μὴ) πιστεύομεν (B πιστεύσωμεν) ὑμῖν (Latt [*quia*] *non credimus vobis*). λέγ. οἱ τῆς κουστ. πρ. τ. Ἰουδ. (ita B, item *respondentes* [Ven om] *custodes* [Fabr aliique *milites*] *dixerunt* [Ven *dixeruntque custod.*] *Iudaeis* Vatt Ven Fabr aliique; A vero οἱ δὲ στρατιῶται εἶπον) .. C haec omnia praetermittit | εἴδετε (B ἴδ.) .. C (apud Birchium) οἴδατε | καὶ ἡμῖν (ita C Vatt Ven; Fabr aliique om καί; A ἡμῖν δέ) πῶς ἔχ. (pro his C vitiose προσέχ.) πιστεῦσαι .. B haec om | καὶ γὰρ καλ. ὠμόσ. (Ven haec om) ὅτι (B om) ζῇ κύριος .. C solus add οὐ πιστεύομεν (apud Birchium -ωμεν) ὑμῖν | καὶ γὰρ ἐκεῖνος ζῇ cum A Latt plerisque .. BC Ven om | πάλιν (ita B Ven Vat^a; C καὶ πάλ.) λέγ. οἱ τ. κουστ. (Ven Vat^a add *Iudaeis*) cum BC Ven Vat^a .. A Vat^b Fabr aliique om | Ἡμεῖς cum B Fabr aliisque .. A καὶ ἡμεῖς, Vat^a *et* .. C Vat^b Ven om | ἐνεκλείσατε αὐτόν, σφραγίσ. τ. θύρ. cum B; item C ἐγκλείσαντες αὐτὸν καὶ σφραγίσαντες; similiter Fabr aliique *inclusistis in cubiculo super clavem signantes* .. A ἐνεκλείσατε ἐν οἴκῳ ὅπου θυρὶς οὐκ ἦν, καὶ τὴν θύραν ἀσφαλισάμενοι καὶ σφραγίσαντες φυλακάς τε καὶ καταστήσαντες ἐτηρεῖτε .. Vatt inde ab ὅτι sic: *quia Ioseph* (hoc nomen Latini omnes addunt) *qui petiit corpus Iesu inclusistis in carcerem ubi non erat fenestra, et signastis annulis vestris*; similiter Ven omissis *ubi -- fenestra* | καὶ ἀνοίξαντες .. C solus om | B ηὕρατε | δότε οὖν (B om) ὑμεῖς cum AB Fabr Eins Cors, item Vatt Ven *date ergo vos* (Ven om) *nobis* .. C δότε ἡμῖν | ὃν ἐφυλάττετε cum A .. BC Vatt Ven τὸν Ἰωσήφ (B add πρῶτον) .. Fabr Eins Cors *Ioseph quem in cubiculo custodistis* (Cors *inclusistis*) | καὶ ἡμεῖς δώσομεν (C δίδομεν ὑμῖν) τὸν Ἰησ. cum A(C), item Latt *et nos* (Vatt Ven add *vobis*) *dabimus Iesum* (Vatt Ven add *Christum* [*dominum*], item Fabr aliique *quem in sepulcro custodivimus*) .. B καὶ τότε, ὑμεῖς διδόντες τὸν Ἰωσήφ, καὶ ἡμεῖς τὸν Ἰησοῦν. | λέγουσιν οἱ Ἰουδαῖοι .. A add τοῖς ὑπηρέταις | Ὁ Ἰωσὴφ (B Ἡμεῖς δίδωμεν [sic]· ὁ Ἰωσήφ) εἰς τὴν πόλιν αὐτοῦ ἀπῆλθεν cum AB, item Vatt Ven .. C Τὸν Ἰωσὴφ ἡμεῖς δίδομεν, ἀπόδοτε καὶ ὑμεῖς τὸν Ἰησοῦν. λέγουσιν οἱ τῆς κουστωδίας Πρῶτον δότε ὑμεῖς τὸν Ἰωσήφ, καὶ εἶθ' οὕτως δίδομεν ἡμεῖς τὸν Ἰησοῦν. λέγουσιν οἱ Ἰουδαῖοι Ὁ Ἰωσὴφ εἰς πόλιν αὐτοῦ ἀπῆλθεν. Ex his prima et extrema etiam Fabr Eins Cors habent in hunc modum:

αὐτοῦ ἀπῆλθεν. λέγουσιν οἱ τῆς κουστωδίας πρὸς τοὺς Ἰουδαίους Καὶ ὁ Ἰησοῦς ἀνέστη, καθὼς ἠκούσαμεν τοῦ ἀγγέλου, καὶ ἔστιν ἐν τῇ Γαλιλαίᾳ.

3 Ἀκούσαντες δὲ οἱ Ἰουδαῖοι τοὺς λόγους τούτους ἐφοβήθησαν σφόδρα λέγοντες Μή ποτε ἀκουσθῇ ὁ λόγος οὗτος καὶ πάντες κλιθῶσιν εἰς τὸν Ἰησοῦν. καὶ συμβούλιον ποιήσαντες οἱ Ἰουδαῖοι κατεβάλλοντο ἀργύρια ἱκανὰ καὶ ἔδωκαν τοῖς στρατιώταις λέγοντες Εἴπατε ὅτι ἡμῶν κοιμωμένων ἦλθαν οἱ μαθηταὶ αὐτοῦ νυκτὸς καὶ ἔκλεψαν αὐτόν. καὶ ἐὰν ἀκουσθῇ τοῦτο ὑπὸ

---

*Ioseph nos dabimus, date nobis Iesum. Ioseph autem in civitate sua Arimathia est.* | λέγ. οἱ τῆς κουστ. πρὸς τ. Ἰουδ. (C τοῖς Ἰουδαίοις) cum BC Vatt (item Ven omissis πρ. τ. Ἰουδ.) .. A οἱ δὲ στρατιῶται εἶπον (item Fabr aliique *respondentes milites dixerunt*) | Καὶ ὁ Ἰησ. ἀνέστη, καθ. ἠκ. τοῦ ἀγγ., καὶ ἔστιν ἐν τῇ Γαλ. cum A (similiter Vat^a *Et Iesus, quemadmodum audivimus ab angelo, in Galilaea est*) .. BC καὶ ὁ Ἰησοῦς εἰς τὴν Γαλιλαίαν (C om ε. τ. Γαλ.) ἐστίν, καθὼς ἠκούσαμεν τοῦ ἀγγέλου τοῦ ἀποκυλίσαντος τὸν λίθον ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν .. Vat^b Ven *Et Iesus est in Galilaea* (Ven om *Iesus -- Galilaea*), *sicut audivimus ab angelo* (Ven add *qui revolvit lapidem*) *Ecce* (Ven *quia Iesus*) *praecedet vos in Galilaea* (Ven *-laeam*) .. Fabr aliique *Si Ioseph in Arimathia est, et Iesus in Galilaea est, sicut audivimus ab angelo dicente mulieribus.*

3. ἐφοβήθησαν σφόδρα cum ABE (ἐφ. φόβον, omisso σφ) Vatt Ven, item omisso σφ. Fabr etc .. C ἐπικράνθησαν σφόδρα | λέγοντες cum CE Vatt Ven (Fabr etc *dicentes ad semetipsos*) .. A καὶ εἶπον .. B om | Μή ποτε (*Ne quando*) ἀκουσθῇ ὁ λόγος οὗτος (cum ACE Vatt, item *audiantur sermones isti* Ven Cors Hal, item Havn *Si auditus fuerit sermo iste*; B ἀκούσαντες οὕτως, Fabr Eins *audientes sermones istos*) καὶ (ita ACE atque etiam B, item Vatt Ven; Fabr etc om) πάντ. κλιθῶσιν (cum C, item κλίνουσιν vel -νωσιν E; AB πιστεύσωσιν, item omnes Latini *credant* vel *credent*) εἰς τ. Ἰησοῦν (A τῷ Ἰησοῦ) | καὶ συμβούλ. cum BCE Latt .. A συμβ. δέ | ποιήσαντες οἱ Ἰουδαῖοι cum AB Vatt Ven .. CE ποιήσαντες (E λαβόντες idque ante συμβ. ponit) sine οἱ Ἰουδ., sed C add εἰς αὐτούς (item Vatt Ven *inter* s. *intra se*) .. Fabr Eins Cors *et* omissis συμβ. ποιήσ. | κατεβάλλοντο (ita BC, E ἔλαβον, Vatt *protulerunt*, Fabr aliique *congregantes*; A Ven ἔδωκαν) ἀργύρια ἱκανὰ (ita ABE Vatt Ven; C Fabr etc ἀργύριον ἱκανὸν) καὶ ἔδωκ. (A Ven haec om) τοῖς στρατιώταις (ita ACE Vatt Fabr etc; B Ven τοῖς τῆς κουστωδίας) | λέγοντες (B Ven add αὐτοῖς, C om λέγ.) Εἴπατε cum A Vatt Fabr etc, item B Ven, item C .. E ἵνα εἴπωσιν | ὅτι ἡμῶν (Vat^a Ven Fabr etc *vobis*) κοιμ. ἦλθαν (ita B, A ἦλθον) οἱ μαθ. αὐτ. νυκτὸς (ita B Fabr etc, A post ἔκλ. αὐτόν; Vatt Ven plane om) καὶ ἔκλ. αὐτόν cum AB Latt .. C (item E ut videtur) ὅτι οἱ μαθ. αὐτ. νυκτὸς ἐλθόντες ἔκλεψ. αὐτ. ἡμῶν κοιμωμένων | καὶ ἐὰν ἀκουσθῇ τοῦτο (C τό pro τοῦτο) ὑπὸ (ita CE Latt: B ἐπὶ) τοῦ ἡγεμ., ἡμεῖς πείσωμεν (ita BC; E -σομεν?) αὐτ. κ. ὑμ. ἀμερίμν. ποιήσωμεν (ita BC; E -σομεν?) cum BCE Latt .. A καὶ ἂν ἀκούσῃ τοῦτο ὁ ἡγεμών,

τοῦ ἡγεμόνος, ἡμεῖς πείσωμεν αὐτὸν καὶ ὑμᾶς ἀμερίμνους ποιήσωμεν. οἱ δὲ λαβόντες εἶπον ὡς ἐδιδάχθησαν.

## CAPUT XIV.

1 Φινεὲς δέ τις ἱερεὺς καὶ Ἀδᾶς διδάσκαλος καὶ Ἀγγαῖος Λευίτης κατελθόντες ἀπὸ τῆς Γαλιλαίας ἐν Ἱεροσολύμοις ἐξηγήσαντο τοῖς ἀρχισυναγώγοις καὶ τοῖς ἱερεῦσιν καὶ τοῖς Λευίταις ὅτι εἴδομεν τὸν Ἰησοῦν καὶ τοὺς μαθητὰς αὐτοῦ καθεζόμενον εἰς τὸ ὄρος τὸ καλούμενον Μαμίλχ, καὶ ἔλεγεν τοῖς μαθηταῖς αὐτοῦ

---

ἡμεῖς πείσομεν αὐτόν | οἱ δὲ λαβόντες cum A Eins Cors Fabr .. E om λαβόντες .. BC Vatt Ven add τὰ ἀργύρια, item G τὸ ἀργύριον | εἶπον cum A Eins Cors Fabr .. BCEG ἐποίησαν | ὡς (ita AG; BE καθώς, C καθά) ἐδιδάχθησαν. Nihil praeterea addidi cum A .. BCEG add καὶ διεφημίσθη ὁ λόγος οὗτος παρὰ Ἰουδαίοις μέχρι τῆς (G τὴν) σήμερον (B add ἡμέρας, G ἡμέραν) .. Eins Cors Fabr *et diffamatus est omnibus sermo illorum.* Vatt Ven inde ab οἱ δὲ λαβόντες sic: *Qui accipientes argenteos veritatem celare minime potuerunt* (Ven *verit. minime tacuerunt*). *Volentes dicere Discipuli eius nobis dormientibus venerunt et tulerunt eum, et dicebant vero* (ita Vat[a]; Ven *Volebant itaque dicere quia discipuli eius furati sunt nobis dormientibus, et non poterant exprimere; sed dicebant*) *Vere* (Vat[a] om) *surrexit dominus Iesus Christus a mortuis et nos* (Ven om) *vidimus angelum dei* (Ven *domini*) *descendentem de caelo et revolvit lapidem* (Ven add *ab ostio monumenti*) *et sedit* (Ven *sedebat*) *super eum* (Vat[b] om omnia inde ab *Volentes* usque *super eum*). *Et diffamatus* (Vat[a] *disseminatus*) *est sermo iste apud Iudaeos* (Vat[b] *ab omni populo Iudaeorum*) *usque in praesentem diem.*

XIV, 1. Φινεές cum A (Μετὰ δέ τινας ἡμέρας Φιν. τις) CEG Latt plerisque (Vat[b] *Eneas*) .. B Φιναῖος | τις ἱερεύς .. G ὁ ἀρχιερεύς | Ἀδᾶς cum ABG, item *Ada* Fabr Cors .. C Vat[b] (Vat[a] *Addam*) Ἀδδᾶς .. E Ἄννας | Ἀγγαῖος cum B (Ἀγγέως) Eins (*Aggeus*) Fabr Cors (hi *Agaeus*); item A Ἀγγίας et (*Egias*, *Legias*) Vatt Ven .. C εἷς Ἄννας, E Ἠλίας, G Ἡσαίας | κατελθόντες cum BCEG, item *descendentes* Vatt Ven .. A Fabr aliique ἐλθόντες | ἐν Ἱεροσολύμοις .. A εἰς Ἱερουσαλήμ | ἐξηγήσαντο cum BE, item ἐξηγοῦντο G .. A διηγήσαντο, C διηγοῦντο .. Latini *dixerunt* vel *retulerunt* | A om καὶ τ. ἱερ. κ τ. Λευίταις | ὅτι εἴδομεν cum AG Eins Cors Fabr .. CE Vat[b] ὅτι εἶδον .. B ἃ εἶδον, λέγοντες Εἴδαμεν, item Vat[a] Ven *quanta viderant quomodo -- viderant* (Ven *sedebat*) | καὶ τοὺς (BG Eins Cors Fabr add ἕνδεκα, non add C Vatt, neque magis A Ven) μαθητ. αὐτ. καθεζόμενον (ita B; CG -μένους) cum BCG Vatt Eins etc .. A Ven μετὰ τῶν μαθητῶν αὐτοῦ .. E nil nisi καθήμενον | εἰς τὸ ὄρος cum AC .. BE ἐπὶ τὸ ὄρος, G ἐπὶ τοῦ ὄρους (sed sequente καλούμενον) | τὸ καλούμενον cum ABEG Vatt Ven .. C om | Μαμίλχ cum A .. B Μαμβήχ, E Μαλήκ, G Μοφήκ, C Μομφῆ; Vat[a] *Manbre sive Malech*, Vat[b] *Manbre sive Amalech*, Ven *Mambre*; Copt (ex cap. XVI, 2.) *Mabrech.* Cf. de idolo מִלְכֹּם sive מַלְכָּם eiusque in monte olivarum cultu 2 Reg. 23, 13. 1 Reg. 11, 5. 33. Jer. 49, 1. 3. Item de „*monte scandali*“ 2 Reg. 23, 13. 1 Reg. 11, 7. |

Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα κηρύξατε πάσῃ τῇ κτίσει· ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται, ὁ δὲ ἀπιστήσας κατακριθήσεται. σημεῖα δὲ τοῖς πιστεύσασιν ταῦτα παρακολουθήσουσιν· ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσιν, γλώσσαις λαλήσουσιν καιναῖς, ὄφεις ἀροῦσιν, κἂν θανάσιμόν τι πίωσιν οὐ μὴ αὐτοὺς βλάψει. ἐπὶ ἀρρώστους χεῖρας ἐπιθήσουσιν καὶ καλῶς ἕξουσιν. ἔτι τοῦ Ἰησοῦ λαλοῦντος πρὸς τοὺς μαθητὰς αὐτοῦ εἴδομεν αὐτὸν ἀναληφθέντα εἰς τὸν οὐρανόν.

2 Λέγουσιν οἱ πρεσβύτεροι καὶ οἱ ἱερεῖς καὶ Λευῖται Δότε δόξαν τῷ θεῷ Ἰσραήλ, καὶ δότε αὐτῷ ἐξομολόγησιν εἰ ταῦτα ἠκούσατε καὶ ἴδετε ἅπερ ἐξηγήσασθε. λέγουσιν οἱ ἐξηγησάμενοι Ζῇ κύριος ὁ θεὸς τῶν πατέρων ἡμῶν Ἀβραὰμ Ἰσαὰκ καὶ Ἰακώβ, ὅτι ταῦτα ἠκούσαμεν καὶ ἴδομεν αὐτὸν ἀναληφθέντα εἰς τὸν οὐρανόν. λέγουσιν

Πορευϑέντες - - πάσῃ τῇ κτίσει cum BCG Latt, item E addito τὸ εὐαγγέλιόν μου (similiter Vatt Ven add *et annuntiate* [*praedicate*] *evang. regni dei*) .. A Πορεύεσϑε καὶ διδάξατε τὸ εὐαγγέλιον πάσῃ τῇ κτίσει | ὁ (CE ὅτι ὁ, Eins Fabr Cors *et qui*) πιστ. κ. βαπτισϑεὶς (G -σϑήσας) σωϑ. ὁ δὲ ἀπ. κατακρ. (Eins Cors Fabr om ὁ δὲ ἀπ. κατ.) cum BCEG Vatt Ven Eins etc .. A om | σημεῖα δὲ - - ταῦτα παρακολουϑήσουσιν (ita B, item -σει G, item Vatt Ven; C ἀκολουϑήσει ταῦτα)· ἐν τῷ - - ἐκβαλοῦσιν (sed BCG -λλουσιν)· - - ὄφεις (ita BG Vatt; C Ven καὶ Ven om] ἐν ταῖς χερσὶν αὐτῶν ὄφεις) - - βλάψει (ita BC; G -ψη)· - - χεῖρας (ita BG, C τὰς χ.) - - ἕξουσιν cum BCG Vatt Ven .. A καὶ ὅτι οἱ πιστοὶ πολλὰ σημεῖα ποιήσουσι καὶ πολλοὺς ἀσϑενοῦντας ἰάσονται .. E Eins Fabr Cors om | ἔτι τοῦ - - πρὸς τ. μαϑ. (ita BG Vatt; C τοῖς μαϑηταῖς) αὐτ. (E καὶ ἔτι αὐτοῦ λαλοῦντος ταῦτα. Ven *haec eo loquente*, Eins etc *et cum haec locutus fuisset discipulis suis*) εἴδομεν (C ἴδομεν, B εἴδαμεν) - - οὐρανόν cum BCG Vatt, item E Ven Eins etc .. A εἶτα εἴδομεν αὐτὸν μετελϑόντα εἰς τὸ ὄρος τῶν ἐλαιῶν καὶ ἀναληφϑέντα εἰς τὸν οὐρανόν.

2. οἱ πρεσβύτεροι καὶ οἱ ἱερεῖς καὶ Λευῖται cum C (B οἱ ἱερεῖς καὶ οἱ πρεσβ. τοῦ λαοῦ, Vatt *sacerdotes et Levitae et seniores*, Ven *sacerd. et Levitae*, Fabr etc *principes sacerdotum et sen. et Lev.*) .. EG οἱ Ἰουδαῖοι (item ut videtur A; is enim omittens omnia a λέγουσιν οἱ - - Δότε usque λέγουσιν οἱ - - Εἰς τοῦτο videtur a verbis ἀναληφϑ. εἰς τ. οὐρ. λέγουσιν οἱ - - transiluisse ad eadem quae infra sequuntur. Tum vero post ἢ εὐχὴν δοῦναι τῷ ϑεῷ addit λέγουσι πρ. αὐτοὺς πάλιν Ζῇ κύριος - - εἰς τ. οὐρ. Ordo igitur omnino turbatus est.) | Δότε .. G praem πρὸς αὐτούς, Fabr etc *tribus viris illis* | τῷ ϑεῷ Ἰσραήλ cum BCG Latt plerisque .. E Ven om Ἰσρ. | εἰ τ. ἠκ. κ. ἴδετε (ita G, C οἴδατε) ἃ. ἐξ. cum CG, similiterque Vatt Ven Fabr etc .. E ὅτι ταῦτα ἃ ἐξηγήσασϑε καὶ ἠκούσατε καὶ οἴδατε (corrige εἴδατε) .. B ταῦτα δὲ ἐξηγήσασϑε ἃ ἠκούσατε καὶ ἴδετε. Cf. Jos. 7, 19. | οἱ ἐξηγησάμενοι cum BC .. E οἱ ἐξηγούμενοι | τῶν πατέρων ἡμῶν cum ABE Fabr etc .. C ἡμῶν .. Vatt Ven om | Ἀβραὰμ Ἰσαὰκ καὶ Ἰακώβ cum AB .. EC Latt ὁ ϑεὸς (C add τοῦ) Ἀβρ. καὶ ὁ ϑε. (C add τοῦ) Ἰσ. καὶ ὁ ϑε. (C add τοῦ) Ἰακ. | A ἀκηκόαμεν | ἴδομεν cum BC .. A εἴδ. |

οἱ πρεσβύτεροι καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται πρὸς αὐτούς Εἰς τοῦτο ἤλθατε εὐαγγελίσασθαι ἡμῖν, ἢ ἤλθατε εὐχὴν δοῦναι τῷ θεῷ; οἱ δὲ λέγουσιν Εὐχὴν δοῦναι τῷ θεῷ. λέγουσιν οἱ πρεσβύτεροι καὶ οἱ ἀρχιερεῖς καὶ οἱ Λευῖται πρὸς αὐτούς Εἰ εὐχὴν ἤλθατε δοῦναι τῷ θεῷ, εἰς τί οὖν ἡ φλυαρία αὕτη ἣν ἐφλυαρήσατε ἀπέναντι παντὸς τοῦ λαοῦ; λέγει Φινεὲς ἱερεὺς καὶ Ἀδᾶς διδάσκαλος καὶ Ἀγγαῖος Λευίτης πρὸς τοὺς ἀρχισυναγώγους καὶ ἱερεῖς καὶ Λευίτας Εἰ οἱ λόγοι οὗτοι οὓς ἐλαλήσαμεν καὶ ἴδομεν ἁμαρτία ἐστίν, ἰδού ἐσμεν ἐνώπιον ὑμῶν· κατὰ τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς ὑμῶν ποιήσατε ἡμῖν. οἱ δὲ λαβόντες τὸν νόμον ὥρκισαν αὐτοὺς μηδενὶ ἐξηγήσασθαι ἔτι τοὺς λόγους τούτους. καὶ ἔδωκαν αὐτοῖς φαγεῖν καὶ πιεῖν, καὶ ἐξέβαλαν αὐτοὺς ἔξω τῆς πόλεως, δεδωκότες αὐτοῖς καὶ ἀργύρια καὶ ἄνδρας τρεῖς μετ' αὐτῶν, καὶ ἀπεκατέστησαν αὐτοὺς ἕως τῆς Γαλιλαίας.

---

πρὸς αὐτούς cum ABC Vatt .. E om | ἤλϑατε cum BC .. A ἤλϑετε | εὐαγγελίσασϑ. ἡμῖν cum ABE (add τὰ εὐαγγέλια ταῦτα) Vatt .. C om ἡμῖν | ἢ ἤλϑατε cum BC (habet εἰσέλϑατε pro ἢ ἤλϑ.) .. E ἢ ἤλϑετε .. A ἢ | οἱ δὲ λέγουσιν Εὐχὴν (C male add ἔλϑατε) δοῦν. τῷ ϑεῷ cum CE, item Vatt .. B haec male praetermittit, item A, item plures Latini. | λέγουσιν .. B add πάλιν | οἱ πρεσβ. κ. οἱ ἀρχ. κ. οἱ Λευ. πρ. αὐτ. cum B Vatt .. CAE οἱ Ἰουδαῖοι πρ. αὐτ. (AE om πρ. αὐτ.) | Εἰ (B om) εὐχὴν ἤλϑατε (E -ϑετε?) δ. τ. ϑε., εἰς τί οὖν ἡ φλυαρ. αὕτη (pro εἰς usque αὕτη B habet πρὸς τὴν φλυαρίαν ταύτην) -- παντὸς (B om) τ. λα. cum BE Vatt .. C Εἰς τί οὖν ἡ φλ. αὕτη ἣν ἐφλ. ἀπ. παντ. τ. λαοῦ .. A Τί οὖν παρεγένεσϑε ἐφ' ἡμᾶς καὶ κηρύξαι ἢ εὐχὴν ἀποδοῦναι τῷ ϑεῷ (videntur his proprio modo confirmata repeti ea quae supra leguntur Εἰς τοῦτο ἤλϑατε etc); εἰ οὖν εἰς εὐχὴν ἤλϑετε, τί φλυαρεῖτε, ἀπέναντι τοῦ λαοῦ; | λέγει Φιν. (Vat[b] ut supra *Eneas*) ἱερ. (cum B Vatt; C om) κ. Ἀδᾶς (ita B, C Ἀδάδ, Vatt *Addas*) διδ. κ. Ἀγγαῖος (B Ἀγγέος, Vatt ut supra *Egias* et *Legias*; C Ἡσαΐας) πρ. τ. ἀρχισ. κ. (C add πρὸς τοὺς) ἱερ κ. Λευ. cum BC Vatt .. A λέγει Φινεὲς πρὸς τοὺς ἀρχιερεῖς .. E λέγουσιν οἱ ἄνδρες, similiterque Fabr etc | Εἰ οἱ -- καὶ (C add ὃν) ἴδομεν (C οἴδαμεν; B om κ. ἴδ.) ἁμαρτ. ἐστίν, ἰδού (post ἰδού E hiat) ἐσμεν ἐνώπ. ὑμ. κατά (C om ἁμαρτία usque κατά) τὸ ἀγ. ἐν ὀφϑ. ὑμ. ποιήσ. ἡμῖν (C ἐν ὀφϑ. ἡμῶν εἴπωμεν) cum B(E)(C), item *si verba ista quae locuti sumus, vidimus et audivimus, peccatum est* (Vat[b] *sunt*), *ecce sumus in conspectu vestro; secundum quod bonum est in oculis vestris facite nobis* Vatt, nec fere aliter Ven .. A εἰ τοὺς λόγους οὓς ἐλαλήσαμεν φλυαρίαι εἰσίν, ἰδοὺ ἐνώπιον ἡμῶν κατὰ τὸ ἀρεστὸν ὑμῖν ποιήσατε .. Fabr (similiterque Eins Cors) *si verba quae audivimus ab Iesu et quod vidimus eum ascendentem in coelum taceamus, peccatum habebimus.* | ὥρκισαν (BC ὅρκησαν) αὐτούς (B αὐτοῖς) | ἐξηγήσασϑαι cum BC .. A διηγήσασϑ. | ἔτι (C ἐπι) .. A om | καὶ ἔδωκαν cum A Vatt Ven .. BC ἔδωκ. δέ | καὶ ἐξέβαλαν (ita B; -λον C) -- δεδωκότες (ita B, C δώσαντες) -- μετ' αὐτῶν (ita B Vatt Ven; C om) καὶ ἀπεκατέστησαν (ita B, *qui perduxerunt* Vatt, *ut perducerent* Ven; C τοῦ ἀποκαταστῆσαι) αὐτοὺς ἕως τῆς

3 Πορευθέντων δὲ τῶν ἀνδρῶν ἐκείνων ἐν τῇ Γαλιλαίᾳ συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ ἀρχισυνάγωγοι καὶ οἱ πρεσβύτεροι ἐν τῇ συναγωγῇ, ἀποκλείσαντες τὴν πύλην, καὶ ἐκόπτοντο κοπετὸν μέγαν λέγοντες Ὅτι τοῦτο γέγονεν τὸ σημεῖον ἐν τῷ Ἰσραήλ; ὁ δὲ Ἄννας καὶ Καϊάφας εἶπον Τί θορυβεῖσθε, τί κλαίετε; ἢ οὐκ οἴδατε ὅτι οἱ μαθηταὶ αὐτοῦ ἔδωκαν χρυσίον ἱκανὸν τοῖς φρουροῖς τοῦ τάφου καὶ ἐδίδαξαν αὐτοὺς εἰπεῖν ὅτι ἄγγελος καταβὰς ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θύρας τοῦ μνημείου; οἱ δὲ ἱερεῖς καὶ οἱ πρεσβύτεροι εἶπον Ἔστω ὅτι ἔκλεψαν οἱ μαθηταὶ αὐτοῦ τὸ σῶμα· ἡ ψυχὴ δὲ πῶς εἰσῆλθεν εἰς τὸ σῶμα, καὶ διατρίβει ἐν τῇ Γαλιλαίᾳ; οἱ δὲ μὴ δυνάμενοι πρὸς ταῦτα ἀποκριθῆναι μόλις ποτὲ εἶπον Οὐκ ἔξεστιν ἡμῖν ἀκροβύστοις πιστεῦσαι.

---

Γαλιλ. (ita B, *usque* [*in*] *Galilaeam* Vatt Ven; C εἰς τὴν Γαλιλαίαν) cum BC Vatt Ven (libere Fabr etc) .. A καὶ ἐκβαλόντες αὐτοὺς ἔξω τῆς πόλεως ἀπέλυσαν, δόντες αὐτοῖς καὶ ἄνδρας τρεῖς ὥστε διασῶσαι αὐτοὺς ἕως τῆς Γαλιλαίας. Praeterea BC Vatt add καὶ ἐπορεύθησαν ἐν εἰρήνῃ (C om ἐν εἰρ.): nihil addidi cum A Ven (item Fabr etc)

§ 3. Πορευθέντων δὲ τ. ἀ. ἐκ. ἐν τῇ Γαλιλ. (ἐ. τ. Γ. ex BC Vatt; A om) συνήχθησαν οἱ ἀρχιερ. καὶ οἱ (καὶ οἱ ex CB; A om) ἀρχισ. κ. οἱ (καὶ οἱ ex BC; A om) πρεσβ. ἐν τῇ συναγωγ. ἀποκλείσ. τὴν πύλην (codex πόλιν) καὶ ἐκόπτ. κοπ. μέγ. λέγοντες cum A .. B καὶ πορευθέντων τῶν ἀνδρῶν ἐκείνων ἐν τῇ Γαλιλαίᾳ, συμβούλιον ποιήσαντες (corrige ἐποίησαν?) οἱ Ἰουδαῖοι πρὸς ἑαυτούς, οἱ ἀρχισυνάγωγοι καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται, εἰς τὴν συναγωγὴν λέγοντες .. C συμβούλιον δὲ ποιήσαντες οἱ Ἰουδαῖοι οἱ πρὸς ἑαυτούς, πορευθέντων τῶν ἀνδρῶν ἐν τῇ Γαλιλαίᾳ, ἀπέστειλαν αὐτοὺς οἱ ἀρχιερεῖς καὶ οἱ ἀρχισυνάγωγοι καὶ οἱ Λευῖται εἰς τὴν συναγωγὴν καὶ ἐκόπτ. κοπ. μέγ. λέγοντες .. Vatt *Tunc consilium fecerunt Iudaei inter se, cum ascenderent illi in Galilaeam, et clauserunt archisynagogae synagoges, et irati sunt ira magna* [*furore magno dicentes*] .. Fabr etc *congregati ergo sunt omnes Iudaei et fecerunt inter se magnam lamentationem dicentes* | Ὅτι (cf. Nov. Test. ed. Tischdf. 1849. p. XXVI. „ὅτι pro τί ὅτι“) τοῦτο γέγονεν τὸ σημ. ἐν τ. Ἰσρ. cum B, item *Quid hoc signum contigit (factum est) in Isr. (Ierusalem.)* Vat[a] Ven Fabr etc .. AC Τί τοῦτο τὸ σημεῖον, (A add τί τὸ θέαμα,) ὃ γέγονεν ἐν τῷ Ἰσρ. (A addit γενομένας γὰρ εἶδον ἅπαντες πολλὰς εὐεργεσίας αὐτοῦ) | ὁ δὲ Ἄνν. κ. Καϊάφ. εἶπον cum A (Fabr etc) .. BC Vatt λέγουσιν (B λέγει) Ἄνν. κ. Καϊάφ. | Τί θορυβεῖσθε -- ἀκροβύστοις cum A .. BC vero sic Τί περίλυπος (B add ἐστιν) ἡ ψυχὴ ὑμῶν; τοῖς στρατιώταις ἔχομεν πιστεῦσαι ὅτι ἄγγελος (B add κυρίου) κατέβη ἐξ (B ἐκ τοῦ) οὐρανοῦ καὶ ἀπεκύλισεν τὸν λίθον ἐκ (B ἀπὸ) τῆς θύρας τοῦ μνημείου; (huc usque satis consentiunt Vatt Ven; Fabr etc om Τί περίλ. ἡ ψ. ὑμ.) καὶ πάντες (Thilo coniecit πάντως) οἱ (ita B; C καὶ ὅτι οἱ; fortasse καὶ γὰρ οἱ corrigendum est. Vatt *Non ita est, sed quia* [Vat[b] om] *discipuli;* Ven *Sed quia* [etiam graece ferri potest ἀλλ' ὅτι] *disc.;* Fabr aliique *Forsitan haec discipuli eius dixerunt eis et dederunt* etc) μαθηταὶ αὐτοῦ ἔδωκαν χρυσίον ἱκανὸν αὐτοῖς (B τοῖς στρατιώταις)

## Caput XV

[1] Ἀνέστη δὲ ὁ Νικόδημος καὶ ἔστη ἔμπροσθεν τοῦ συνεδρίου λέγων Ὀρθῶς λαλεῖτε. οὐκ ἀγνοεῖτε, λαὸς κυρίου, τοὺς ἄνδρας τοὺς κατελθόντας ἀπὸ τῆς Γαλιλαίας, ὅτι αὐτοὶ φοβούμενοι τὸν θεόν εἰσιν καὶ ἄνδρες εὐπορίας, μισοῦντες πλεονεξίαν, ἄνδρες εἰρήνης· καὶ αὐτοὶ ἐξηγήσαντο μετὰ ὅρκου ὅτι εἴδαμεν τὸν Ἰησοῦν εἰς τὸ ὄρος τὸ Μαμὶλχ μετὰ τῶν μαθητῶν αὐτοῦ, καὶ ὅτι ἐδίδασκεν ὅσα ἠκούσαμεν παρ' αὐτοῦ, καὶ ὅτι εἴδαμεν

---

καὶ ἔλαβον (B ἔλαβαν) τὸ σῶμα τοῦ Ἰησοῦ. καὶ αὐτοὶ (C add οἱ μαθηταὶ) ἐδίδαξαν αὐτοὺς (C τοὺς τηροῦντας τὸν τάφον) ταῦτα εἰπεῖν, ὅτι εἴπατε (C om) Ἄγγελος κυρίου καταβὰς (B κατέβη καὶ) ἀπεκύλισεν τὸν λίθον ἀπὸ τῆς θύρας τοῦ μνημείου. ἢ οὐκ οἴδατε ὅτι οὐκ ἐξὸν ἀκροβύστῳ πιστεῦσαι τί ποτε (ita B; C ὅτι οὐκ ἐξ ὧν ἀκρόβυστον πιστεύεται τὸ ῥῆμα); τί δὲ (ita C; B om; Vat[b] *Nam ut scitis acceperunt*, Ven *scientes quia hi*) ὅτι καὶ παρ' ἡμῶν ἔλαβον (B ἔλαβαν) ἱκανὸν χρυσίον (B χρ. ἱκαν.) καὶ καθὼς ἐδιδάξαμεν αὐτοὺς οὕτως (C add καὶ) εἶπαν; (Cum istis posterioribus inprimis conveniunt Ven et Vat[b]; multo brevior est Vat[a]; satis libere reddit Fabr cum similibus.)

XV, 1. Ἀνέστη δὲ ὁ Νικ. cum AC Ven Fabr etc.. B om δὲ ὁ | ἔμπροσθ. τ. συνεδρ. cum AC .. B ἐν μέσῳ τοῦ συνεδρ., Vatt *in medio eorum*, Ven *in medio concilio*, Fabr aliique om | λέγων cum A .. B καὶ εἶπεν .. C om (Latt *et ait, et dixit, dixit*) | λαλεῖτε cum A, item *loquimini* Fabr Eins Cors .. BC εἴπατε, Vatt Ven *dixistis* | λαὸς κυρ. cum BC .. A ἀδελφοί .. Latt om | τοὺς ἄνδρας (ita etiam Vatt Ven Fabr etc) .. A om | κατελθόντας cum B Vatt Ven .. AC ἐλθόντας | ὅτι αὐτοὶ φοβ. τ. θ. εἰσιν cum BC (Vatt *et ipsi*) .. A ὅτι ἄνθρωποί εἰσι φοβ. τ. θ. | καὶ ἄνδρ. εὐπορίας (cod. -ρείας) cum C .. B (omisso καὶ) ἄνδρ. εὔποροι (idem reddi videtur a Veneto interprete *viri iusti*) .. A om | μισ. πλεον. cum AB .. C μισ. καὶ πλεον. | ἄνδρ. εἰρήνης cum B Ven (*viri pacis*) .. C ἄνδρ. εἰρηνικοί (Vatt *viri pacifici*) .. A ἀγαπῶντες ἀλήθειαν. Hunc locum sic exhibet Fabr cum similibus: *Recte loquimini, filii Israel. Vos audistis omnia quae locuti sunt tres illi viri iurantes in lege domini.* Vatt *Recte dixistis. Numquid et viri descendentes a Galilaea, et ipsi timentes deum suum, sunt viri mendacium dicentes* (Vat[b] *mendaces*)? Ven *Recte dixistis. Numquid et illi viri iusti, qui descenderunt de Galilaea, non sunt timentes dominum, viri pacis, mendacium odientes?* | καὶ αὐτοὶ cum BC Vatt (*et ipsi*) .. A οὗτοι γοῦν | A ἐξηγήσαντο μετὰ (ita B; C μετ') ὅρκου cum BC Vatt Ven .. A μεθ' (sic) ὅρκου ἐξηγήσαντο | εἴδαμεν (B ἴδαμ.) cum BC .. A εἴδομεν | εἰς τὸ ὄρ. τὸ Μαμίλχ cum A .. C εἰς τὸ ὄρ. Μομφῆ .. B καθήμενον ἐπὶ τὸ ὄρος τὸ καλούμενον Μαμβήχ .. Vatt Ven *in monte Manbre* (*Mambre*) *sedentem* | μετὰ τ. μαθ. αὐτοῦ cum AB Vatt Fabr etc .. C μετ. τῶν δώδεκα (Ven XI) μαθ. αὐτ. | καὶ ὅτι (cod. ὅτε; vide infra Vatt) ἐδίδασκ. ὅσα ἠκούσαμεν (ita ex C; B ἠκούσατε) παρ' αὐτοῦ (cod. π. αὐτῶν, quod ipsum cum ἠκούσατε coniunctum haud ineptum est), καὶ ὅτι εἴδαμεν -- οὐρανόν cum B, item Vatt *et quia docebat eos audientibus nobis, et quia* etc (Vat[b] *vidisse Iesum -- et docentem eos, se ipsum audientibus, et se vidisse* etc), item Ven *et docebat eos, et qualiter viderunt* etc .. C omissis re-

αὐτὸν ἀναληφθέντα εἰς τὸν οὐρανόν. καὶ οὐδεὶς ἠρώτησεν αὐτοὺς τὸ ποίῳ σχήματι ἀνελήφθη. καὶ γὰρ καθὼς ἐδίδασκεν ἡμᾶς τὸ τῶν ἁγίων γραφῶν βιβλίον, ὅτι καὶ Ἡλίας ἀνελήφθη εἰς τὸν οὐρανόν, καὶ Ἐλισσαῖος ἐφώνησεν φωνῇ μεγάλῃ, καὶ ἔρριψεν Ἡλίας τὴν μηλωτὴν αὐτοῦ ἐπάνω τοῦ Ἐλισσαίου, καὶ ἔρριψεν Ἐλισσαῖος τὴν μηλωτὴν αὐτοῦ ἐπάνω τοῦ Ἰορδάνου, καὶ ἐπέρασεν καὶ ἦλθεν εἰς Ἱεριχώ. καὶ ὑπήντησαν αὐτῷ τὰ τέκνα τῶν προφητῶν καὶ εἶπαν Ἐλισσαῖε, ποῦ ὁ κύριός σου Ἡλίας; καὶ εἶπεν ὅτι ἀνελήφθη εἰς τὸν οὐρανόν. καὶ εἶπαν πρὸς Ἐλισσαῖον Μὴ πνεῦμα ἥρπασεν αὐτὸν καὶ ἔρριψεν ἐφ' ἓν τῶν ὀρέων; ἀλλὰ λάβωμεν τοὺς παῖδας ἡμῶν μεθ' ἑαυτῶν καὶ ζητήσωμεν αὐτόν. καὶ ἔπεισαν τὸν Ἐλισσαῖον, καὶ ἀπῆλθεν μετ' αὐτῶν.

---

liquis sic: ἃ ἠκούσαμεν παρ' αὐτόν, καὶ ὅτι εἴδαμεν -- οὐρανόν .. A καὶ μεταβάντα εἰς τὸ ὄρος τῶν ἐλαιῶν καὶ ἀναληφθέντα ε. τ. οὐρ. .. Fabr totum locum sic habet *Vidimus Iesum loquentem cum discipulis suis super montem oliveti, et vidimus eum ascendentem in coelum.* | καὶ (ita A; B καὶ ὅτι; C ἔτι δὲ ὅτι; Vat[a] *quod*) οὐδ. ἠρ. αὐτ. τὸ (ita C; B τῷ; A om) ποίῳ (A add τρόπῳ ἢ ποίῳ) σχήμ. ἀνελήφθη .. Vat[a] *quod nullus interrogavit eos antequam assumptus est in caelum* .. Ven Fabr om | καὶ γὰρ καθὼς ἐδίδ. ἡμᾶς τὸ (cod. om) τῶν ἁγ. γραφ. βιβλ. (cod. add ἐκράτει, quod cum seqq. coniunctum aptum sensum praebet; est enim fere *fama obtinebat:* sed apparet id additum esse ad explicandum anacoluthon, quod est in loco nostro. Similis ratio est loci Rom. 3, 8.) ὅτι καὶ (καί confirmant etiam E Vat[a]) Ἡλίας (cod praem ὁ δίκαιος, item Fabr *beatus,* Vatt *sanctus;* sed id ignorant ACE Ven) ἀν. εἰς τ. οὐρ. cum B .. C καὶ γὰρ καθὼς διδάσκει τὸ ἅγιον βιβλίον ὅτι εἷς Ἡλίας -- οὐρ. .. E post lacunam rursus incipit a verbis ἡμῶν [ἡμᾶς?] τὸ ἀπόκρυφον βιβλίον ὅτι καὶ Ἡλίας -- οὐρ. .. A καὶ γὰρ Ἡλίας ἀνελήφθη reliquis omnibus omissis .. Vatt *Et sicut docet nos scriptura sacri libri, quia et sanctus* (Vat[b] *scriptura sacra, sanctus*) *Elias assumptus est in caelum* .. Ven *Nonne legistis in scripturis sanctis, Helias assumptus est* .. Fabr *Et docet nos scriptura quod beatus Elias propheta assumtus est* | ἐφώνησεν φων. μεγ. cum AC .. B ἐβόησεν φ. μ., item E ἐβόησε | καὶ ἔρρ. Ἡλίας -- ἐπάνω τ. Ἰορδ. cum B Vatt Ven (Fabr plane om); item A omissis Ἡλίας usque καὶ ἔρριψεν Ἐλισσαῖος .. C corrupte καὶ ἔρριψεν τὴν μηλωτὴν ἐπάνω αὐτοῦ Ἐλισσαίου καὶ ἔθηκεν τὴν μηλωτὴν αὐτοῦ ἐπάνω τ. Ἰορδ. .. E καὶ ἔλαβεν Ἐλισσαῖος τὴν μηλωτὴν τοῦ Ἡλίου καὶ ἔρριψεν αὐτὴν ἐπάνω τ. Ἰορδ. Cf. Βασιλ. δ' 2, 13 sqq. | ἐπέρασεν .. E add τὸν Ἰορδάνην | τὰ τέκνα .. A οἱ υἱοί | A εἶπον | Ἐλισσαῖε: ita A; B πρὸς Ἐλισσαιέ, E τῷ Ἐλισσαίῳ, Vatt Ven *ad Elisaeum* | Ποῦ cum BE .. AC Latt add ἔστιν | E om ὁ κύρ. σου | A om ὅτι | A ὡς εἰς τὸν οὐρανόν | A εἶπον | Μὴ πνεῦμα .. E Μήτι ἄρα τὸ πν. | ἥρπ. (B ἀνήρπ.) αὐτόν cum AB Vatt Ven .. CE Fabr αὐτ. ἥρπ. | C om καὶ ἔρριψ. | ἐφ' ἓν (C ἐν ἑνί) τῶν ὀρέων cum A(C) Vatt Ven .. BE ἐπάνω τῶν (B om) ὀρέων, Fabr *in montibus Israel* | ἀλλὰ (E Vat[a] add μᾶλλον) -- μεθ' ἑαυτῶν (ita B; CE ἡμῶν) ἔπεισαν (ita BC Latt; E συνέπεσαν) τὸν Ἐλισσ. (E τῷ Ἐλισσαίῳ) κ. ἀπῆλθ.

καὶ ἐζήτησαν αὐτὸν τρεῖς ἡμέρας καὶ οὐχ εὗρον αὐτόν, καὶ ἔγνωσαν ὅτι ἀνελήφθη. καὶ νῦν ἀκούσατέ μου, καὶ ἀποστείλωμεν ἐν παντὶ ὁρίῳ Ἰσραὴλ καὶ ἴδωμεν μή πως ἀπὸ πνεύματος ἀνελήφθη ὁ Χριστὸς καὶ ῥέριπται ἐν ἑνὶ τῶν ὀρέων. καὶ ἤρεσεν πᾶσιν ὁ λόγος οὗτος. καὶ ἀπέστειλαν ἐν παντὶ ὁρίῳ Ἰσραήλ, καὶ ἐζήτησαν τὸν Ἰησοῦν, καὶ οὐχ εὗρον αὐτόν· εὗρον δὲ τὸν Ἰωσὴφ εἰς Ἀριμαθαίαν, καὶ οὐδεὶς ἐτόλμησεν κρατῆσαι αὐτόν.

2 Καὶ ἀνήγγειλαν τοῖς πρεσβυτέροις καὶ τοῖς ἱερεῦσιν καὶ τοῖς Λευίταις ὅτι περιήλθομεν ἐν παντὶ ὁρίῳ Ἰσραήλ, καὶ οὐχ εὕρομεν τὸν Ἰησοῦν· τὸν δὲ Ἰωσὴφ εὕρομεν εἰς Ἀριμαθαίαν. ἀκούσαντες δὲ περὶ τοῦ Ἰωσὴφ ἐχάρησαν καὶ ἔδωκαν δόξαν τῷ θεῷ Ἰσραήλ. καὶ συμβούλιον ποιήσαντες οἱ ἀρχισυνάγωγοι καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται ποίῳ τρόπῳ συντύχωσιν τῷ Ἰωσήφ, ἔλαβον τόμον χάρτου καὶ ἔγραψαν τῷ Ἰωσὴφ τάδε.

μ. αὐτ. (haec habent CE Vatt Ven Fabr, sed om B) cum BCE Latt .. A omnia om | καὶ ἐζήτησαν cum BC Vatt Ven .. A ἐζήτ. δέ | αὐτόν cum AB Vatt Ven .. C om | τρ. ἡμ. (B ἡμ. τρ.) cum BC Fabr .. A Vatt Ven τρ. ἡμ. καὶ τρεῖς νύκτας | B ηὗραν | A om αὐτόν | ὅτι ἀνελήφθη cum AB .. C (Vatt Ven) ὅτι ἀληθῶς ἀν. | Καὶ νῦν .. A Νῦν οὖν | ἀποστείλωμεν (ex C; B ἀποστέλλομεν, E ἀποστείλατε, Vatt Ven *miltamus*) ἐν παντὶ ὁρίῳ (sic B, E τόπῳ) Ἰσρ. καὶ ἴδωμεν (κ. ἴδ. cum B Vatt Ven; E om) μή πως -- ὁ Χριστ. (Ven *Iesus Christus*, Vatt *Iesus*) κ. ῥέριπται (ita B Vatt Ven, E ἔρριψεν) ἐν (E ἐφ') -- ὁρίῳ (ita rursus B; E ut videtur ὀρείῳ) Ἰσρ. cum BE Vatt Ven (similiter etiam Fabr etc) .. A καὶ ἀποστείλατε εἰς πᾶν ὅριον (sic) Ἰσρ. καὶ ζητήσατε αὐτόν .. C καὶ ἀποστείλωμεν ἐπὶ πάντα τὰ ὄρεα Ἰσρ. ζητῆσαι αὐτόν | καὶ ἐζήτησαν τ. Ἰησ. (pro his E τοῦ ζητῆσαι αὐτόν, item Vatt Ven) κ. οὐχ εὗρον (B ηὗραν) αὐτόν (B om) cum CBE, item Latt .. A καὶ τοῦτο ποιήσαντες οὐχ εὗρον τὸν Ἰησοῦν | εὗρον (B ηὗραν) δὲ τ. Ἰ. εἰς Ἀριμαθαίαν (B -θίαν, C -θείαν. Vatt Ven *ab Arimathia*) -- κρ. αὐτόν .. A εὑρόντες δὲ τὸν Ἰωσὴφ οὐκ ἐτόλμησαν κρ. αὐτ.

2. Καὶ ἀνήγγειλαν (ita B, item A: E ἀπήγγ.; C ἀνήνεγκαν) -- κ. τοῖς (B om) Λευίταις cum BCE Vatt .. A ὑποστρέψαντες δὲ ἀνήγγειλαν τοῖς ἀρχισυναγώγοις λέγοντες .. Ven *annunciaverunt autem Iudaeis*, Fabr *et reversi dixerunt* | ὅτι (*quia* Vatt Ven; A om) περιήλθομεν (B -ήλθασιν, item Vatt) ἐν π. ὁρίῳ (ita B, A πᾶν ὅριον, C ἐ. π. ὄρει) Ἰσρ. κ. οὐχ (B οὐκ, item C et h. l. et alibi ut videtur) εὕρομεν (B ηὗραν, item Vatt) -- Ἰωσ. εὕρομεν (B ηὗραν, non Vatt) εἰς Ἀριμαθαίαν (B -θίαν, C -θείαν; A ἐν Ἀριμαθαίᾳ et addit solus καὶ ἐφοβήθημεν κρατῆσαι αὐτόν) | ἀκούσαντ. δὲ (ita ACE Vatt Ven; B καὶ ἀκούσ.) π. τ. Ἰωσ. (E add καὶ) ἐχάρησαν καὶ ἔδωκαν - Ἰσρ. (A om Ἰσρ.; E om καὶ ἔδ. usque Ἰσρ.) | καὶ συμβ. (A συμβ. δὲ) ποιήσαντες .. E καὶ λαβόντες συμβ. | οἱ ἀρχισ. κ. οἱ ἱερ. κ. οἱ Λευῖτ. cum B Vatt Ven .. AC οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι (C Λευῖται) .. E om usque τῷ Ἰωσήφ | C τῷ ποίῳ τρ. συντ. τὸν Ἰωσήφ | ἔλαβον τόμ. χάρτου (E ἔλ. χάρτην) καὶ ἔγραψαν .. B λαβόντες δὲ τόμ. χ. ἔγραψαν | τῷ Ἰωσὴφ τάδε (Vat[b] *ad Ioseph*; Fabr *ad Ioseph dicentes*) .. A αὐτῷ, B αὐτῷ λέγοντες

Μετὰ τὸ καταλυθῆναι τὴν βασιλείαν τῶν Ἑβραίων, τετρακοσίων χρόνων παραδραμόντων, καὶ ὑπὸ τὴν βασιλείαν τῶν Ῥωμαίων τελούντων καὶ τῶν Ἑβραίων, τοῦ Ῥωμαίων βασιλέως βασιλέα αὐτοῖς χειροτονοῦντος· τοῦ Τιβερίου Καίσαρος ὕστερον τὰ ῥωμαϊκὰ σκῆπτρα διέποντος, ἐν τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς βασιλείας αὐτοῦ βασιλέα χειροτονήσαντος ἐν τῇ Ἰουδαίᾳ Ἡρώδην, τὸν υἱὸν Ἡρώδου τοῦ πρὶν τὰ νήπια ἀποκτείναντος ἐν τῇ Βηθλεέμ, καὶ τὸν Πιλᾶτον ἐν τῇ Ἱερουσαλὴμ ἔχοντος ἡγεμόνα· τοῦ Ἄννα δὲ καὶ τοῦ Καϊάφα τὴν ἀρχιερωσύνην ἐχόντων τῆς Ἱερουσαλήμ, Νικόδημος τοπάρχης Ῥωμαῖος Ἰουδαῖον προσκαλεσάμενος Αἰνέαν ὀνόματι ἐζήτησε συγγράψασθαι τὰ κατὰ τοὺς καιροὺς Ἄννα καὶ Καϊάφα πραχθέντα ἐν Ἱερουσαλὴμ περὶ τοῦ Χριστοῦ· ὃ δὴ καὶ ποιήσας ὁ Ἰουδαῖος καὶ τῷ Νικοδήμῳ παραδούς, οὗτος αὖθις ἀπὸ τῆς ἑβραϊκῆς συγγραφῆς μετήνεγκε ταῦτα εἰς τὴν ῥωμαϊκὴν διάλεκτον. ἔχει δὲ τὰ τῆς ἱστορίας οὕτως.

* Hunc titulum habent ABC: τοῦ πάθους cum A .. BC τοῦ τιμίου πάθους | τοῦ κυρ. ἡμῶν cum AC .. B add καὶ σωτῆρος ἡμῶν | καὶ τῆς cum A .. BC καὶ περὶ τῆς | παρά cum BC .. A περί | Αἰνέα cum A .. BC Ἐνναία | μετήνεγκεν ἐκ τῆς cum BC .. A μετήνεγκε τῆς | εἰς τήν cum A .. BC om τήν | ῥωμαΐδη (C -ΐδι) cum BC .. A ῥωίδα (pro ῥωμαΐδα?)

Praefationem habent AB: παραδραμόντων .. B -μούντων | ἔτει τῆς .. A ἐπὶ τῆς | ἐν τῇ Βηθλεέμ .. B om τῇ | ἐν τῇ Ἱερουσαλήμ .. B om τῇ | τοῦ Ἄννα δέ .. B om δέ | Αἰνέαν .. B Ἐνναίαν | ἔχει δέ .. B om δέ

## CAPUT I.

[1] Τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πολλὰ καὶ μεγάλα καὶ ἐξαίσια θαύματα ἐν τῇ Ἰουδαίᾳ ἐργασαμένου, καὶ διὰ τοῦτο φθονηθέντος ὑπὸ τῶν Ἑβραίων, ἡγεμονεύοντος εἰς Ἱεροσόλυμα τοῦ Πιλάτου, ἀρχιερατευόντων δὲ τοῦ τε Ἄννα καὶ τοῦ Καϊάφα, ἦλθον ἐκ τῶν Ἰουδαίων πρὸς τοὺς αὐτοὺς ἀρχιερεῖς Ἰούδας, Λευί, Νεφθαλείμ, Ἀλέξανδρος, Σύρος, καὶ ἄλλοι πολλοὶ λέγοντες κατὰ τοῦ Χριστοῦ· οὓς καὶ ἀπέστειλαν οἱ τοιοῦτοι ἀρχιερεῖς εἰπεῖν ταῦτα καὶ τῷ Πιλάτῳ. οἳ καὶ ἀπελθόντες εἶπον πρὸς αὐτὸν ὅτι ἄνθρωπος περιπατεῖ ἐν τῇ πόλει ταύτῃ πατέρα ἔχων Ἰωσὴφ λεγόμενον καὶ μητέρα Μαριάμ, ὀνομάζει δὲ αὐτὸν βασιλέα καὶ υἱὸν θεοῦ· καὶ Ἰουδαῖος ὢν ἀνατρέπει τὰς γραφὰς καὶ καταλύει τὰ σάββατα. ἠρώτησεν οὖν ὁ Πιλᾶτος μαθεῖν ἐξ αὐτῶν κατὰ τίνα τρόπον καταλύει τὰ σάββατα. καὶ ἀπεκρίθησαν οὗτοι λέγοντες ὅτι τοὺς ἀσθενεῖς ἰατρεύει ἐν σαββάτῳ. λέγει ὁ Πιλᾶτος Εἰ τοὺς ἀσθενοῦντας ὑγιεῖς ποιεῖ, οὐδὲν κακὸν ποιεῖ. λέγουσιν αὐτῷ Εἰ καλῶς ἐνήργει τὰς ἰατρείας, μικρὸν ἂν ἦν τὸ κακόν· μαγείαις δὲ χρώμενος ποιεῖ ταύτας καὶ τοὺς δαίμονας ἔχων παρ' ἑαυτῷ. λέγει ὁ Πιλᾶτος Τὸ ἰατρεύειν ἄρρωστον διαβολικὸν ἔργον οὐκ ἔστιν, ἀλλὰ χάρισμα ἐκ θεοῦ.

[2] Εἶπον οἱ Ἑβραῖοι Δεόμεθά σου τῆς μεγαλειότητος μετακαλέσασθαι αὐτόν, ὡς ἂν γνωρίσῃς ἀκριβῶς ὅπερ λέγομεν. ἐκβαλὼν οὖν ὁ Πιλᾶτος τὸ μανδύλιον αὐτοῦ δέδωκεν ἑνὶ τῶν ὑπηρετῶν αὐτοῦ λέγων Ἄπελθε καὶ δεῖξον τοῦτο τῷ Ἰησοῦ καὶ εἰπὲ αὐτῷ Πιλᾶτος ὁ ἡγεμὼν καλεῖ σε πρὸς αὐτὸν ἐλθεῖν. ἀπῆλθε τοίνυν ὁ ὑπηρέτης, καὶ εὑρὼν τὸν Ἰησοῦν προσεκαλεῖτο τοῦτον,

I, 1. Ἰησοῦ Χριστοῦ: B om | καὶ τοῦ Καϊάφα: A om τοῦ | Ἰούδας: B ὁ Ἰούδας | καὶ τῷ Πιλάτῳ: B add ἡγεμόνι | Μαριάμ: A Μαρίαν | οὖν ὁ Πιλᾶτος: B οὖν ὁ ἡγεμὼν ὁ Πιλ. | οὗτοι λέγοντες: A om λέγοντες | ἀσθενοῦντας: B ἀσθενεῖς | μαγείαις: B μαγείᾳ | παρ' ἑαυτῷ: B περὶ αὐτῷ | ἐκ θεοῦ: B ἦν ἐκ θεοῦ

2. σου τ. μεγαλειότητος: B τῆς μεγαλότητός σου | τὸ μανδύλιον (A μανδύλιον et infra μανδίλιον, B ut videtur μανδήλιον): B add ἤτοι τὸ φακιόλιον | ἑνὶ τῶν ὑπηρ. αὐτοῦ: B add Ῥαχαὰβ ὀνόματι, ἤγουν τῷ κούρσορι (scriptum est τοῦ κούρσορος) αὐτοῦ | εὑρὼν τὸν Ἰησοῦν: ab his inde verbis textus codicis B confusus est. Statim enim sequuntur haec: ἐν τῇ ἡμέρᾳ κυριακῇ τῶν Ἑβραίων

ἁπλώσας ἐπὶ γῆς καὶ τὸ τοῦ Πιλάτου μανδύλιον καὶ ἐπάνω αὐτοῦ πατεῖν αὐτὸν προτρεπόμενος. ὅπερ ἰδόντες οἱ Ἑβραῖοι καὶ μεγάλως ἀγανακτήσαντες ἦλθον πρὸς τὸν Πιλᾶτον, γογγύζοντες κατ' αὐτοῦ πῶς τοσαύτης τιμῆς τὸν Ἰησοῦν ἠξίωσεν.

[3] Καὶ οὗτος τὸν ἀποσταλέντα ὑπηρέτην ἀνερευνήσας πῶς οὕτως ἐποίησεν, ἀπεκρίθη ὁ ὑπηρέτης Ὅτε με ἀπέστειλες πρὸς τὸν Ἰουδαῖον Ἀλέξανδρον, ἐνέτυχον τῷ Ἰησοῦ εἰσερχομένῳ τὴν πύλην τῆς πόλεως καθημένῳ ἐπὶ ὄνου· καὶ εἶδον τοὺς Ἑβραίους ὅτι ἐστρώννυον ἐν τῇ ὁδῷ τὰ ἱμάτια αὐτῶν, καὶ περιεπάτει ὁ ὄνος ἐπάνω τῶν ἱματίων, καὶ ἕτεροι ἔκοπτον κλάδους· καὶ ἐξήρχοντο εἰς ὑπάντησιν αὐτοῦ καὶ ἔκραζον Ὡσαννὰ ἐν τοῖς ὑψίστοις. οὕτως οὖν ἔδει καὶ ἐμὲ ποιῆσαι.

[4] Ἀκούσαντες οἱ Ἰουδαῖοι τοὺς λόγους τούτους εἶπον πρὸς αὐτόν Σὺ δὲ Ῥωμαῖος ὢν πῶς ἐγίνωσκες τὰ παρὰ τῶν Ἑβραίων λεγόμενα; ἀπεκρίθη ὁ ὑπηρέτης Ἕνα ἐκ τῶν Ἑβραίων ἠρώτησα, καὶ εἶπέ μοι ταῦτα. εἶπεν ὁ Πιλᾶτος Τί λέγει Ὡσαννά; εἶπον οἱ Ἰουδαῖοι Σῶσον ἡμᾶς κύριε. ἀπεκρίθη ὁ Πιλᾶτος Ἐπεὶ ὁμολογεῖτε ὅτι οὕτως ἔλεγον οἱ παῖδες ὑμῶν, πῶς νῦν κατηγορεῖτε καὶ λέγετε κατὰ τοῦ Ἰησοῦ ὅσα λέγετε; ἐσιώπησαν οἱ Ἰουδαῖοι καὶ οὐδὲν εἶχον ἀντειπεῖν.

---

καθήμενον ἐπὶ ὄνου, καὶ ἐν τῇ ὁδῷ αὐτοῦ Ἑβραῖοι ἐστρώννυον τὰ ἱμάτια αὐτῶν, καὶ περιεπάτει ὁ ὄνος ἐπάνω τῶν ἱματίων: quae quidem ad id pertinent quod paullo infra sectione 3. media narratur. Sed non attulit Thilo quibus ea verba excipiuntur, his tantum notatis *Tum iste minister dicitur Pilati* μανδήλιον *pedibus Christi substravisse, et Iudaeis id factum indignantibus coram Pilato ea fere respondisse quae in nostro textu* (i. e. in recensione priore) *leguntur.* Rursus incipit Thilonis notatio a verbis ἐπεὶ ὁμολογεῖτε i. e. a sect. 4. media. | ἠξίωσεν: codex ἠξίωσης. ἠξίωσας? ἠξίωσες?

3. πῶς οὕτως: codex π. οὗτος | ἀπέστειλες: sic | ποιῆσαι: codex ἐποίησα. Suspicari possis legendum esse ποιῆσαι, καθὼς καὶ ἐποίησα

4. οἱ παῖδες ὑμῶν: B οἱ ἀπειρόκακοι παῖδ. ὑμ.

C loco priorum quattuor sectionum haec habet:

[1] Τότε ἄγουσι τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα ἐπὶ ἡγεμόνα τὸν Πιλᾶτον, ὃς (cod. ὁ) ἦν Ῥωμαῖος· ἦν δὲ παρασκευὴ πρωΐ. καὶ ἰδὼν Ἰούδας πῶς ἤγαγον τὸν Ἰησοῦν ἐνώπιον τοῦ Πιλάτου, ἐν τρόμῳ καὶ δειλίᾳ ἐκατεκρίθη διὰ τῆς αἰσχρᾶς ἐπιβουλίας αὐτοῦ, καὶ τῇ αὐτοῦ ἀπογνώσει μεταμεληθεὶς βουλόμενος ὑποστρέψαι τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσι καὶ πρεσβυτέροις τῶν Ἰουδαίων. (Ad sequentia cf. quae infra ad XI, 2. ex codice A adnotavimus.) καὶ γνόντες (cod. γνοὺς) αὐτὸν οἱ κακοῦργοι καὶ οἱ κατήγοροι ὅπερ βούλεται ὁ Ἰούδας ποιῆσαι, λέγουσιν (cod. λέγουν) κατ' αὐτοῦ ὁμοφώνως, ἅμα καὶ ὁ λαὸς ὑβριστικῶς

5 Ἐρχομένου δὲ τοῦ Ἰησοῦ πρὸς τὸν Πιλᾶτον, προσεκύνουν αὐτὸν οἱ στρατιῶται τοῦ Πιλάτου. ἵσταντο δὲ καὶ ἄλλοι ἔμπροσθεν τοῦ Πιλάτου κατέχοντες σημαίας. καὶ ἐρχομένου τοῦ Ἰησοῦ ἔκλιναν καὶ αἱ σημαῖαι καὶ προσεκύνησαν αὐτόν. θαυμάζοντος οὖν ἐπὶ τῷ γεγονότι τοῦ Πιλάτου, εἶπον οἱ Ἰουδαῖοι

(cod. -στικός) Ὁ προδότης, ὁ παράνομος, ὁ ἄπιστος, ὁ ἀχάριστος, ὁ τὸν διδάσκαλον αὐτοῦ πωλήσας καὶ φονεύσας, ὁ παρ' αὐτοῦ τοὺς πόδας νιπτόμενος, ὁ τὸ βαλάντιον αὐτοῦ κατέχων καὶ ὅσα θέλων διδοὺς ἐξ αὐτοῦ, ἐδίδου τῇ γυναικὶ αὐτοῦ, καὶ ὅσα θέλων κρύπτων· καὶ πᾶσαν τὴν αἰτίαν τῆς σταυρώσεως ἐτίθουν ἐπάνω αὐτοῦ. 2 Οὗτος δὲ ἀγανακτῶν καὶ μὴ δυνάμενος τοὺς ὀνειδισμοὺς ὑπομένειν, καὶ τοσοῦτον ὑπὸ πάντων κατακρινόμενος καὶ ὑβριζόμενος, παραγενόμενος ἐν τῷ ναῷ καὶ εὑρὼν τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς καὶ Φαρισαίους εἶπεν Ἥμαρτον παραδοὺς αἷμα ἀθῷον· γινώσκω ἀληθῶς ὅτι κακῶς ἐποίησα· καὶ λάβετε τὰ ἀργύρια ἅ μοι δεδώκατε διὰ τὸ προδοῦναι τὸν Ἰησοῦν πρὸς φόνον ὑμῶν. οἱ δὲ εἶπον Τί πρὸς ἡμᾶς; σὺ ὄψει. μὴ (ab hoc inde loco usque ἀπήγξατο textum Venetum una cum Parisiensi affert etiam Thilo) θελόντων δὲ τῶν Ἰουδαίων δέξασθαι τὰ ἀργύρια, ῥίψας ταῦτα ἐν μέσῳ (cod. B μέσον) αὐτῶν ἔφυγε. 3 Καὶ ἀπελθὼν εἰς τὸν οἶκον αὐτοῦ ποιῆσαι ἀγχόνην διὰ σχοινίου τοῦ κρεμασθῆναι, καὶ εὗρεν τὴν γυναῖκα αὐτοῦ καθημένην καὶ (τοῦ?) πυρεάζειν ἀλέκτορα ἐν τῇ ἀνθρακιᾷ, ἔστω (sic uterque codex) ἐν τῇ σούβλᾳ. Πρὸ τοῦ γεύσασθαι αὐτόν, καὶ λέγει αὐτῇ Ἀνάστα, γύναι, οἰκονόμησόν μοι σχοινίον, ὅτι βούλομαι κρεμασθῆναι, ὡς ἦν ἄξιος. ἡ δὲ γυνὴ αὐτοῦ ἔφη αὐτῷ Τί ἄρα λέγεις τὰ ῥήματα ταῦτα (cod. B ταῦτ. τὰ ῥήμ.); καὶ ὁ Ἰούδας λέγει αὐτῇ Γίνωσκε ἐν ἀληθείᾳ ὅτι ἀδίκως παρέδωκα τὸν διδάσκαλόν μου Ἰησοῦν τοῖς κακούργοις πρὸς Πιλᾶτον τοῦ θανατῶσαι αὐτόν· αὐτὸς δὲ μέλλει ἀναστήσεσθαι (codd. -στήσεται) τῇ τρίτῃ ἡμέρᾳ, καὶ οὐαὶ ἡμῖν. καὶ ἡ γυνὴ αὐτοῦ εἶπεν αὐτῷ Μὴ λέγε (cod. B λέγειν) μηδὲ νομίσῃς (uterque codex νομήσας) οὕτως· ὅτι ὥσπερ οὗτος ὁ ἀλέκτωρ πυριαζόμενος (supra est πυρεάζειν) ἐν τῇ ἀνθρακιᾷ (cod. C utroque loco ἀνθρακίᾳ, hoc accentu) φωνῆσαι δύναται, οὕτως καὶ ὁ Ἰησοῦς ἀναστήσεται, ὥσπερ λέγεις. καὶ εὐθὺς ἐν τῷ λόγῳ αὐτῆς ὁ ἀλέκτωρ ἐκεῖνος ἔδωκε τὰς πτέρυγας αὐτοῦ καὶ ἔκραξε τρίτον. εἶτα πεισθεὶς ὁ Ἰούδας ἔτι πλεῖον, καὶ εὐθὺς ἐποίησε τὴν ἀγχόνην διὰ σχοινίου καὶ ἐκρεμάσθη, καὶ οὕτως ἀπήγξατο (hucusque textum exscripsit Thilo) τῇ ψυχῇ. (Sequitur οἱ δὲ τῷ σώματι. ἄλλοτε ἐλάκισεν [sic], ἐπρίσθη καὶ ἐβρέμεσεν ? : quae margini adscripta fuisse indeque in textum irrepsisse apparet.) 4 Οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια εἶπον Οὐκ ἔξεστι βαλεῖν αὐτὰ εἰς τὸν κορβανά (sic), ὅτι ἐπιτιμὴ αἵματός ἐστιν. συμβούλιόν τε λαβόντες ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξένοις. διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος ἀγρὸς αἵματος ἕως τῆς σήμερον. τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἱερεμίου τοῦ προφήτου λέγοντος Καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ, καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως καθὰ συνέταξέ μοι κύριος. Iam sequitur Ἐρχομένου δὲ τοῦ Ἰησοῦ etc, quae cum sectione nostri textus 5. conveniunt.

5. πρὸς τὸν Πιλᾶτον: **BC** πρ. τ. ἡγεμόνα Πιλ. | ἵσταντο δὲ καί: **BC** om δέ | καὶ ἐρχ. τ. Ἰησοῦ: haec **BC** om | καὶ προσεκύνησαν (**BC** -κύνουν): καί ex **BC** recepi; quod si cum codice **A** omittitur, ἔκλιναν ad milites referendum est eos qui κατέχοντες σημαίας modo dicti sunt. | ἐπὶ τ. γεγονότι: ita **AB** .. **C** om

πρὸς αὐτὸν Κύριε, οὐχὶ τὰ σημεῖα προσεκύνησαν τὸν Ἰησοῦν, ἀλλ' οἱ στρατιῶται οἱ ταῦτα κατέχοντες ἀμελῶς.

6 Λέγει ὁ Πιλᾶτος τῷ ἀρχισυναγώγῳ Ἔκλεξαι ἄνδρας δυνατοὺς δώδεκα καὶ δὸς αὐτοῖς τὰ σημεῖα ὥστε κατέχειν ταῦτα ἰσχυρῶς. καὶ τούτου γενομένου ἐκέλευσεν ὁ Πιλᾶτος τῷ ὑπηρέτῃ ἐκβαλεῖν ἔξω τὸν Ἰησοῦν καὶ πάλιν εἰσαγαγεῖν αὐτόν. εἰσερχομένου δὲ αὐτοῦ πάλιν ἔκλιναν τὰ σημεῖα καὶ προσεκύνησαν αὐτόν. ἐθαύμασεν οὖν μεγάλως ὁ Πιλᾶτος. οἱ δὲ Ἰουδαῖοι εἶπον Μάγος ἐστίν, καὶ διὰ τοῦτο ποιεῖ αὐτά.

## Caput II.

1 Λέγει ὁ Πιλᾶτος τῷ Ἰησοῦ Ἀκούεις τί οὗτοί σου καταμαρτυροῦσιν, καὶ οὐκ ἀποκρίνῃ; ἀπεκρίθη ὁ Ἰησοῦς καὶ λέγει Πᾶς ἄνθρωπος ἐξουσίαν ἔχει τοῦ λαλεῖν εἴτε καλὸν θέλει εἴτε κακόν· ἔχοντες οὖν καὶ αὐτοὶ ἐξουσίαν ἃ θέλουσιν λέγουσιν.

2 Εἶπον οἱ Ἰουδαῖοι πρὸς αὐτόν Τί ἔχομεν λέγειν περὶ σοῦ; πρῶτον, ὅτι ἐξ ἁμαρτίας εἶ γεγεννημένος· δεύτερον, ὅτι διὰ σέ, ὅτε ἐγεννήθης, ἐφόνευσαν τὰ βρέφη· τρίτον, ὅτι ὁ πατήρ σου καὶ ἡ μήτηρ σου ἔφυγον εἰς τὴν Αἴγυπτον, διὸ οὐδὲν εἶχον θάρσος εἰς τὸν λαόν.

3 Ἐπὶ τούτοις ἀπεκρίθησαν οἱ Ἰουδαῖοι οἱ παρόντες ἐκεῖσε θεοσεβεῖς ἄνθρωποι καὶ εἶπον Ἡμεῖς λέγομεν ὅτι ἡ γέννησις αὐτοῦ ἐξ ἁμαρτίας οὐκ ἔστιν· οἴδαμεν γὰρ ὅτι τὴν μητέρα αὐτοῦ Μαριὰμ ὁ Ἰωσὴφ κατὰ λόγον μνηστείας ἐδέξατο εἰς τήρησιν.

---

τὰ σημεῖα: C τὰ σημαῖα

6. δυνατούς: C καλοὺς δυνατούς | καὶ δὸς αὐτ. τ. σημεῖα: haec BC om | ταῦτα: BC αὐτά | δὲ αὐτοῦ πάλιν ἔκλιναν: BC δὲ τοῦ Ἰησοῦ ἔκλιναν | προσεκύν. αὐτόν: C add ὡς βασιλέα τῶν βασιλευόντων καὶ κύριον τῶν κυριευόντων | ἐστίν: ita A .. (B?) C ἐστί | ποιεῖ αὐτά: B π. ταῦτα

II, 1. τί οὗτοι: A τί ὅτι | ἀποκρίνῃ: C ἀποκρίνει | εἴτε καλ. θ. ε. κακόν: ita AB .. C ἃ θέλει | οὖν: C om | ἃ θέλ. λέγουσιν cum A .. B ἃ θέλ. λέγειν, C φθέγγειν ἃ θέλουσιν

2. Εἶπον: C add οὖν | C γεγενημένος | ὅτε ἐγεννήθης: A ὅτι ἐγ. | ἐφόνευσαν τὰ βρέφη cum C .. A ἐφονεύθησαν δεκατέσσαρες χιλιάδες βρέφη, B ἐφονεύθ. τεσσαράκοντα τέσσαρες χιλιάδες βρέφη | εἰς τὴν Αἴγ. cum A .. BC om τήν | θάρσος cum A .. C θάρος, B θάρρος

3. οἱ (A om) παρόντες ἐκεῖσε cum AB .. C οἱ παρ. δώδεκα | ὅτι ἡ γέννησις αὐτοῦ - - Μαριὰμ (ita B; A Μαρίαν) - - ἐδέξατο (h. l. A add ταύτον. Quod si quis retinere voluerit, non tam ταύτην quam ἑαυτῷ corrigendum vi-

εἶπεν ὁ Πιλᾶτος Λοιπὸν ψεύδεσθε ὑμεῖς οἱ λέγοντες ὅτι ἐξ ἁμαρτίας ἐστὶν ἡ γέννησις αὐτοῦ. λέγουσιν πάλιν αὐτοὶ τῷ Πιλάτῳ Ὁ λαὸς ὅλος μαρτυρεῖ ὅτι μάγος ἐστίν. ἀπεκρίθησαν οἱ θεοσεβεῖς Ἰουδαῖοι καὶ εἶπον Ἡμεῖς καὶ εἰς τὴν μνηστείαν τῆς μητρὸς αὐτοῦ ἦμεν, καὶ Ἰουδαῖοί ἐσμεν, καὶ πᾶσαν τὴν πολιτείαν αὐτοῦ οἴδαμεν· ἀλλὰ μάγον εἶναι, τοῦτο οὐκ οἴδαμεν. οἱ δὲ ταῦτα λέγοντες Ἰουδαῖοι ἦσαν οὗτοι· Λάζαρος, Ἀσθάριος, Ἀντώνιος, Ἰάκωβος, Ζαρᾶς, Σαμουήλ, Ἰσαάκ, Φινεές, Κρίσπος, Δάγριππος, Ἀμεσὲ καὶ Ἰούδας.

[4] Λέγει οὖν πρὸς αὐτοὺς ὁ Πιλᾶτος Εἰς τὴν ζωὴν τοῦ Καίσαρος θέλω ἵνα ὀμόσητε, εἰ χωρὶς ἁμαρτίας ἐστὶν ἡ γέννησις τοῦ ἀνθρώπου τούτου. ἀπεκρίθησαν οὗτοι Ὁ νόμος ἡμῶν ὁρίζει ἵνα μηδὲν ὀμνύωμεν, ὅτι μεγάλη ἁμαρτία ἐστὶν ὁ ὅρκος. πλὴν εἰς τὴν ζωὴν τοῦ Καίσαρος ὀμνύομεν ὅτι χωρὶς ἁμαρτίας ἐστὶν ἡ γέννησις αὐτοῦ· εἰ δὲ ψευδόμεθα, καρατομηθῆναι πάντας ἡμᾶς κέλευσον. ταῦτα τούτων εἰπόντων ἀπεκρίθησαν οἱ κατηγοροῦντες Ἰουδαῖοι πρὸς τὸν Πιλᾶτον καὶ εἶπον Καὶ πλέον πιστεύεις τοῖς τοιούτοις δώδεκα μόνοις Ἰουδαίοις ἢ τῷ παντὶ πλήθει καὶ ἡμῖν ἀκριβῶς εἰδόσιν αὐτὸν μάγον καὶ βλάσφημον καὶ υἱὸν θεοῦ ἑαυτὸν ὀνομάζοντα;

[5] Τότε ἐκέλευσεν ὁ Πιλᾶτος ἐξελθεῖν πάντας ἐκ τοῦ πραιτωρίου ἄνευ μόνων τῶν ῥηθέντων δώδεκα· καὶ τούτου γενομένου

detur.) - - πάλιν αὐτοί (B αὐτ. πάλ.) - - ὅλος (A om) - - μάγος (A ὁ μάγος) - - Ἰουδαῖοι (B οἱ Ἰουδ.) - - ἦμεν (B ἤμεθα) - - εἶναι τοῦτο (A εἶν. τοῦτον, B τοῦτον εἶν.) οὐκ οἴδαμεν (A εἴδαμεν) .cum AB . . C sic: ὅτι ἡ γέννησις αὐτοῦ καὶ ἡ ἀναστροφὴ οὐκ ἔστιν ἐξ ἁμαρτίας, ὡς φατέ· ὅτι καὶ εἰς τὴν μνηστείαν τῆς μητρὸς αὐτοῦ εἰσμέν (sic; corrige ἦμεν. Item C infra εἶσαν pro ἦσαν.), καὶ ἡ μήτηρ αὐτοῦ Μαρία ἐδόθη τῷ Ἰωσὴφ εἰς μνηστείαν, οὐ γαμικήν, ἀλλ' εἰς τήρησιν· καὶ πᾶσαν τὴν πολιτείαν αὐτοῦ ἴδομεν (codex ἴδωμεν), ἀλλὰ μάγον ἢ πλάνον οὐκ οἴδαμεν, ὡς φθέγγεσθε (cod. -σθαι) | λέγοντες Ἰουδαῖοι cum BC .. A λέγ. θεοσεβεῖς Ἰουδ. | Λάζαρος usque Κρίσπος: in his nominibus codd. ABC prorsus consentiunt | Δάγριππος cum BC .. A Δαγρίπος (hoc accentu). Ex altera recensione nomen Ἀγρίππας huc quadrat | Ἀμεσέ cum A .. BC Εὐμεσσέ

4. τοῦ Καίσαρος: C om τοῦ | ἀπεκρ. οὗτοι cum AC .. B add καὶ εἶπον | ἵνα μηδ. ὀμνύωμ. cum AB .. C μὴ ὀμνύειν ὅλως | πλήν cum A .. BC πλ. δέ | ὀμνύομεν cum A .. BC ὀμνύωμεν | πάντας cum A .. BC om | ταῦτα τούτ. εἰπ. cum AB .. C om | πρ. τὸν Πιλ. cum A .. BC om τόν | μόνοις cum A .. BC om | τῷ παντί cum A .. BC παντὶ τῷ | βλάσφημον cum BC .. A βλασφημοῦντα | ἑαυτόν: C om

5. ἐξελθεῖν πάντας cum AC .. B πάντας ἐξελθ. | μόνων: AC μόνον |

λέγει πρὸς αὐτοὺς κρυφίως ὁ Πιλᾶτος Τὸν ἄνθρωπον τοῦτον φαίνεται ὅτι ἀπὸ φθόνου καὶ μανίας θέλουσιν οἱ Ἰουδαῖοι ἵνα φονεύσουσιν αὐτόν. ἓν γάρ, διότι καταλύει τὰ σάββατα, κατηγοροῦσιν αὐτοῦ· αὐτὸς δὲ τότε ποιεῖ καλὸν ἔργον, διότι θεραπεύει τοὺς ἀσθενεῖς· τοῦτο καταδίκη θανάτου εἰς τὸν ἄνθρωπον οὐκ ἔστιν. λέγουσιν αὐτῷ καὶ οἱ δώδεκα Ναί, κύριε, οὕτως ἔχει.

## Caput III.

[1] Ἐξῆλθεν οὖν ὁ Πιλᾶτος ἔξω μετ' ὀργῆς καὶ θυμοῦ, καὶ λέγει πρὸς τὸν Ἄνναν καὶ τὸν Καϊάφαν καὶ πρὸς τὸν ὄχλον οἳ ἔφερον τὸν Ἰησοῦν Μάρτυρα ἔχω τὸν ἥλιον ὅτι οὐδὲν πταῖσμα εὑρίσκω εἰς τοῦτον τὸν ἄνθρωπον. ἀπεκρίθη ὁ ὄχλος Εἰ οὐκ ἦν οὗτος γόης καὶ μάγος καὶ βλάσφημος, οὐκ ἂν πρὸς τὸ μεγαλεῖον τὸ σὸν αὐτὸν ἤγομεν. εἶπεν ὁ Πιλᾶτος Ἐξετάσατε τοῦτον ὑμεῖς, καὶ ἐπεὶ νόμον ἔχετε, καθὼς λέγει ὁ νόμος ὑμῶν, οὕτως ποιήσατε. εἶπον οἱ Ἰουδαῖοι Ὁ νόμος ἡμῶν οὐδένα ἄνθρωπον παραχωρεῖ φονεῦσαι. λέγει ὁ Πιλᾶτος Εἰ ὑμεῖς φονεῦσαι οὐ βούλεσθε, πόσον μᾶλλον ἐγώ.

[2] Τότε ἐστράφη ὁ Πιλᾶτος ἐν τῷ παλατίῳ καὶ λέγει πρὸς τὸν Ἰησοῦν Εἰπέ μοι, σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; ἀπεκρίθη ὁ Ἰησοῦς Σὺ τοῦτο λέγεις, ἢ ἄλλοι Ἰουδαῖοι εἶπον τοῦτο πρὸς

---

φαίνεται: A praem ἄρχοντες, item BC κατὰ τὸ φαινόμενον ἄρχοντες, quae verba in margine ad οἱ Ἰουδαῖοι adscripta fuisse iam Thilo suspicatus est. Praeterea B post φαίνεται add μοι | ἀπὸ φθόνου cum AB .. C διὰ φθόνου | καὶ μανίας cum A .. BC om καί | φονεύσουσιν cum AC .. B (?) φονεύσωσιν | ἕν: A ἐάν, C ἕνα | τὰ σάββατα cum BC .. A τὸ σάββατον | A κατηγορ. αὐτόν | διότι θεραπεύει cum BC .. A ὅτι θεραπ. | τοὺς ἀσθενεῖς: C add ὡς καὶ τὰς λοιπὰς ἡμέρας | τοῦτο καταδίκη cum BC .. A τότε καταδ. | καὶ οἱ δώδ. cum C . AB om καί | C κύριέ μου

III, 1. καὶ τὸν Καϊάφαν: C om τόν | ὄχλον cum BC .. A λαόν | οἳ ἔφερον (BC ὃν ἤφερον) τ. Ἰησ. cum BC .. A om | Μάρτυρα -- εἰς τ. τ. ἄνθρωπ. cum AB .. C Τίνα κατηγορίαν φέρετε κατὰ τοῦ ἀνθρώπου τούτου, atque eadem B praemittere dicitur illis Μάρτυρα etc | ἀπεκρ. ὁ ὄχλ. cum A .. BC add καὶ εἶπεν | Εἰ οὐκ cum A .. BC Ἐὰν μή | μάγος κ. βλάσφημος cum A .. BC βλάσφ. κ. μάγ. καὶ κακοποιός | αὐτὸν ἤγομεν cum A .. BC ἤγομ. αὐτ. καὶ παρεδώκαμεν | εἶπεν ὁ Πιλ. cum A .. BC εἶπ. οὖν ὁ Πιλ. | C Ἐξετάσετε | A οὕτω | εἶπον οἱ Ἰουδ. cum AB .. C εἶπ. οὖν οἱ Ἰουδ. | φονεῦσαι cum A .. BC ἡμᾶς φον. | πόσον: sic AB; C τόσον

2. καὶ λέγει πρ. τὸν Ἰησοῦν cum A .. BC καὶ ἐφώνησεν τὸν Ἰησοῦν (C τὸν Ἰησοῦ) καὶ εἶπεν αὐτῷ | σὺ εἶ cum AC .. B εἰ σὺ εἶ | ἀπεκρ. ὁ Ἰησ.

σέ, ἵνα με ἐρωτήσεις; εἶπεν ὁ Πιλᾶτος Καὶ μήτι ἐγὼ Ἑβραῖός εἰμι; ἐγὼ οὐκ εἰμὶ Ἑβραῖος· ὁ λαός σου δὲ καὶ οἱ ἀρχιερεῖς παρέδωκάν σε εἰς τὰς χεῖράς μου· καὶ εἰπέ μοι εἰ βασιλεὺς εἶ τῶν Ἰουδαίων. ἀπεκρίθη ὁ Ἰησοῦς Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐν τῷ κόσμῳ τούτῳ· εἰ γὰρ ἦν ἡ ἐμὴ βασιλεία ἐν τούτῳ τῷ κόσμῳ, οἱ στρατιῶταί μου οὐκ ἂν ἔμελλον ἀμελῆσαι κρατηθῆναί με· λοιπὸν ἡ βασιλεία μου οὐκ ἔστιν ἐν τούτῳ τῷ κόσμῳ. λέγει ὁ Πιλᾶτος Τὸ λοιπὸν βασιλεὺς εἶ; εἶπεν ὁ Ἰησοῦς Σὺ εἶπας· ἐγὼ εἰς τοῦτο ἐγεννήθην τοῦ μαρτυρεῖν τὴν ἀλήθειαν, καὶ εἴ τίς ἐστιν ἄνθρωπος τῆς ἀληθείας, πιστεύει τὸν λόγον μου καὶ ποιεῖ αὐτόν. λέγει ὁ Πιλᾶτος Τί ἐστιν ἡ ἀλήθεια; ἀπεκρίθη ὁ Ἰησοῦς Ἡ ἀλήθειά ἐστιν ἐκ τῶν οὐρανῶν. λέγει ὁ Πιλᾶτος Ἐν τῇ γῇ δὲ οὐκ ἔστιν ἀλήθεια; λέγει ὁ Χριστός Ἐγώ εἰμι ἡ ἀλήθεια· καὶ πῶς ἐν τῇ γῇ κρίνεται ἡ ἀλήθεια παρὰ τῶν ἐχόντων γηΐνην ἐξουσίαν;

## Caput IV.

1 Ἀφεὶς οὖν ὁ Πιλᾶτος τὸν Χριστὸν μόνον ἐξῆλθεν ἔξω καὶ λέγει τοῖς Ἰουδαίοις Ἐγὼ οὐδὲν εὑρίσκω πταῖσμα εἰς τοῦτον τὸν ἄνθρωπον. ἀπεκρίθησαν οἱ Ἰουδαῖοι Ἡμεῖς ἵνα εἴπωμεν τῇ μεγαλειότητί σου τί εἶπεν αὐτός· εἶπεν ὅτι δύναμαι καταλῦσαι τὸν ναὸν τοῦ θεοῦ καὶ διὰ τριῶν ἡμερῶν οἰκοδομῆσαι αὐτόν. λέγει ὁ Πιλᾶτος Καὶ ποῖον ναὸν εἶπεν ἵνα καταλύσῃ; εἶπον οἱ Ἑβραῖοι Τὸν ναὸν τοῦ Σολομῶντος, ὃν ἔκτιζεν ὁ Σολομὼν ἐπὶ ἔτεσι τεσσαράκοντα ἕξ.

---

cum A .. BC ἀπεκρ. αὐτῷ ὁ Ἰησ. καὶ εἶπεν | ἐρωτήσεις: ita AC .. B -τήσῃς | C εἶπεν δὲ ὁ Πιλ. | ἐγὼ οὐκ εἰμὶ Ἑβρ. cum AB .. C om | ὁ λα. σου δέ cum A .. BC om δέ | οὐκ ἔστ. ἐν τῷ κ. τούτῳ: C add ἀλλ' αἰώνιος | ἔμελλον cum A .. BC ἔμελον | ἐν τούτῳ τ. κ. cum A .. BC ἐν τῷ κ. τούτῳ | Τὸ λοιπόν cum AB .. C om Τό | εἶπ. ὁ Ἰησ. cum A .. BC ἀπεκρίθη Ἰησοῦς | Τί ἐστ. ἡ ἀλήθ. cum A .. BC om ἡ | ἀπεκρ. ὁ Ἰησ. (B ὁ Χριστός) Ἡ ἀλήθ. ἐστ. (A add ὁ Χριστὸς ὅ) ἐκ τ. οὐρ. -- γηΐνην ἐξουσίαν cum AB .. C ἀπεκρ. ὁ Ἰησ. Ἐγώ εἰμι ἡ ἀλήθεια, ὃς λαλῶ τὴν ἀλήθειαν

IV, 1. εἰς τοῦτ. τ. ἄνθρωπ. cum A .. B ἐν τούτῳ τῷ ἀνθρώπῳ, C ἐν τῷ ἀνθρ. τούτῳ | Ἡμεῖς ἵνα εἴπωμεν cum AB .. C Ἐροῦμεν | εἶπεν ὅτι cum AB .. C ἔφη ὅτι | λέγει ὁ Πιλ. Καὶ (A om) -- καταλύσῃ (B -λύσει); εἶπ. οἱ Ἑβραῖοι (B Ἰουδαῖοι) -- ἐπὶ ἔτεσι (B ἐπὶ ἔτη) τεσσ. ἕξ cum AB .. C ὃν (prioribus omissis) ἔκτιζεν ὁ Σολομῶν (hoc accentu) ἐπὶ ἔτη τεσσ. ἕξ. καὶ ἀναστὰς ὁ ἀρ-

[2] Λέγει ὁ Πιλᾶτος ἰδίᾳ πρὸς τοὺς ἀρχιερεῖς καὶ τοὺς γραμματεῖς καὶ τοὺς Φαρισαίους Παρακαλῶ ὑμᾶς, μηδὲν ποιήσατε κακὸν εἰς τοῦτον τὸν ἄνθρωπον. ἐὰν γὰρ ποιήσητε κακὸν εἰς τοῦτον, ἄδικα μέλλετε ποιήσειν· οὐ γάρ ἐστιν δίκαιον ἀποθανεῖν τοιοῦτον ἄνθρωπον, ὅστις ἐποίησεν ἀγαθὰ μεγάλα πρὸς πολλοὺς ἀνθρώπους. εἶπον ἐκεῖνοι πρὸς τὸν Πιλᾶτον Εἰ ὁ ἀτιμάσας, κύριέ μου, τὸν Καίσαρα ἄξιός ἐστι θανάτου, πόσῳ γε μᾶλλον οὗτος ὁ ἀτιμάζων τὸν θεόν.

[3] Τότε ὥρισεν ὁ Πιλᾶτος, καὶ ἐξῆλθον πάντες ἔξω. εἶτα λέγει τῷ Ἰησοῦ Τί θέλεις ποιήσω σοι; λέγει ὁ Ἰησοῦς τῷ Πιλάτῳ Ποίησον εἰς ἐμὲ ὅπως ἐστιν ὡρισμένον. λέγει ὁ Πιλᾶτος Πῶς ἐστὶν ὡρισμένον; ἀπεκρίθη Ἰησοῦς Ὁ Μωυσῆς καὶ οἱ προφῆται ἔγραψαν σταυρωθῆναί με καὶ ἀναστῆναι. ἀκούσαντες οἱ Ἑβραῖοι εἶπον πρὸς τὸν Πιλᾶτον Τί ζητεῖτε ἀκοῦσαι μεγαλωτέραν ὕβριν ἐξ αὐτοῦ πρὸς τὸν θεόν; λέγει ὁ Πιλᾶτος Ὕβρεως λόγος οὗτος πρὸς τὸν θεὸν οὐκ ἔστιν, ἐπεὶ ἐν ταῖς προφητικαῖς βίβλοις γράφεται. εἶπον οἱ Ἑβραῖοι Ἡ ἡμετέρα γραφὴ λέγει Ἐὰν πταίσῃ ἄνθρωπος πρὸς ἄνθρωπον, ἤγουν ἐὰν ὑβρίσῃ αὐτόν, ἄξιός ἐστιν ἵνα λαμβάνῃ μετὰ ῥάβδου πληγὰς τεσσαράκοντα· ἐὰν δὲ ὑβρίσῃ τις τὸν θεόν, ἵνα λιθοβολῆται.

[4] Τότε ἦλθε μηνυτὴς ἀπὸ τῆς Πρόκλης τῆς γυναικὸς Πιλάτου πρὸς αὐτόν· τὸ δὲ μήνυμα ἔλεγεν ὅτι πρόσεχε μὴ συγκα-

---

χιερεὺς λέγει τῷ Ἰησοῦ Ἐξορκίζω σε κατὰ τοῦ θεοῦ τοῦ ζῶντος, ἵνα ἡμῖν εἴπῃς εἰ σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. λέγει Ἰησοῦς (non ὁ Ἰησ.) Σὺ εἶπας. τότε ὁ ἀρχιερεὺς διέσχισεν τὰ ἱμάτια αὐτοῦ λέγων ὅτι ἐβλασφήμησεν· τί ἔτι χρείαν ἔχομεν μαρτύρων; ἠκούσατε τὴν βλασφημίαν αὐτοῦ

2. ἰδίᾳ cum A .. B κατ' ἰδίαν, C κατ' ἰδία | C πρὸς τοὺς ἀρχιερ. καὶ γραμμ. καὶ Φαρισ. | C om Παρακαλῶ -- ἐὰν γὰρ ποιήσητε (B -σετε) κακ. εἰς τοῦτ. (B εἰς τοῦτ. κακ.) -- ποιήσειν | C μεγάλα ἀγαθὰ εἰς πολλ. ἀνθρ. | C θανάτ. ἐστίν | γε cum C .. AB om | ὁ ἀτιμάζων cum A .. B ὁ ἀτιμάσας .. C ὁ ὑβρίζων

3. C ὅρισεν | ὅπως ἐστίν cum BC .. A ὅπερ ἐστίν | λέγ. ὁ Πιλ. Πῶς ἐ. ὡρ. ἀπεκρ. Ἰησ. cum A .. BC nil nisi καὶ πάλιν ὁ Ἰησοῦς ἔφη | με καὶ ἀναστ. cum BC .. A κ. ἀναστ. με | ἀκούσ. οἱ Ἑβρ. cum A .. BC ἀκούσ. δὲ ταῦτα οἱ Ἰουδαῖοι (B Ἑβραῖοι) | ζητεῖτε cum A .. BC ζητεῖς | μεγαλωτέραν cum AB .. C μεγαλειοτέραν | λόγος οὗτος cum AC .. B (?) ὁ λ. οὗτ. | B πρὸς θεόν | Ἐὰν πταίσῃ -- ὑβρίσῃ αὐτόν cum AB .. C Ἐὰν ὑβρίσει ἄνθρωπος ἄνθρωπον | C om ἄξιός ἐστιν | C ἵνα λαμβάνει | C εἰ δὲ τὸν θε. ὑβρίσει τις | C λιθοβολεῖται, A -λῖται

4. τὸ δὲ μήνυμα ἔλεγ. cum AB .. C nil nisi λέγων | ὅτι πρ. μὴ συγκ.

ταβῆς ἵνα γένηταί τι κακὸν εἰς τὸν Ἰησοῦν τὸν καλὸν ἄνθρωπον. ὅτι κατὰ ταύτην τὴν νύκταν φοβεροὺς ὀνείρους εἶδον δι' αὐτόν. ἔδωκεν δὲ ἀπολογίαν ὁ Πιλᾶτος πρὸς τοὺς Ἑβραίους λέγων ὅτι ἐὰν ἔχετε ὕβριν εἰς τὸν θεὸν τὸν λόγον ὃν λέγετε ὅτι εἶπεν ὁ Ἰησοῦς, λάβετε αὐτὸν καὶ κρίνατε ὑμεῖς κατὰ τὸν νόμον ὑμῶν. εἶπον οἱ Ἰουδαῖοι τῷ Πιλάτῳ Ἡμεῖς θέλομεν ἵνα σταυρώσεις αὐτόν. λέγει ὁ Πιλᾶτος Οὐκ ἔστιν τοῦτο καλόν.

5 Στραφεὶς δὲ ὁ Πιλᾶτος πρὸς τὸν λαὸν εἶδε πολλοὺς κλαίοντας, καὶ εἶπεν Ἐμοὶ δοκεῖ ὅτι οὐκ ἔστι τοῦ λαοῦ παντὸς θέλημα τὸν ἄνθρωπον τοῦτον ἀποθανεῖν. λέγουσιν οἱ ἱερεῖς καὶ οἱ γραμματεῖς Ἡμεῖς διὰ τοῦτο τὸν λαὸν ἅπαντα ἠγάγομεν, ἵνα λάβῃς πληροφορίαν ὅτι πάντες τὸν θάνατον αὐτοῦ θέλουσιν. λέγει ὁ Πιλᾶτος Τί γὰρ κακὸν ἐποίησεν; εἶπον οἱ Ἑβραῖοι Βασιλέα ἑαυτὸν εἶναι λέγει καὶ υἱὸν θεοῦ.

## Caput V.

1 Ἰουδαῖος οὖν θεοσεβὴς μέσον σταθεὶς ὀνόματι Νικόδημος εἶπεν πρὸς τὸν Πιλᾶτον Δέομαι τῆς μεγαλειότητός σου ἐᾶσαί με εἰπεῖν πρὸς σὲ ὀλίγα τινὰ ῥήματα. Εἰπέ, ἔφη ὁ Πιλᾶτος. λέγει ὁ Νικόδημος Ἐγὼ εἶπα τοῖς ἱερεῦσιν καὶ τοῖς Λευίταις καὶ τοῖς γραμματεῦσι καὶ τῷ λαῷ παρὼν ἐν τῇ συναγωγῇ Τίνα λόγον ἔχετε κατὰ τοῦ ἀνθρώπου τούτου; οὗτος ὁ ἄνθρωπος πολλὰ θαύματα ποιεῖ, ὅσα ἄνθρωπός ποτε οὐκ ἐποίησεν οὐδὲ μὴ ποιήσει. ἄφετε οὖν αὐτόν· καὶ εἰ μέν ἐστιν ἀπὸ θεοῦ ὅσα ποιεῖ, ἵστασθαι

ἵνα γένητ. (A λέγηται) -- τ. καλ. ἄνθρωπον (A τ. καλ. τὸν ἄνθρωπον, sed correctum est ἀνθρώπων, non mutato τόν) cum AB .. C Πρόσεχε τῷ δικαίῳ Ἰησοῖ μὴ συγκαταβῇς (omissum est ἵνα) γένηταί τι κακὸν εἰς αὐτόν | ταύτην cum BC .. A om | νύκταν cum AC | Ἑβραίους cum A .. BC Ἰουδαίους | λέγων (codex ὁ λέγ.) ὅτι ἐὰν ἔχετε ὕβριν εἰς τ. θ. τὸν λόγ. cum A .. BC Ἰδοὺ ἐὰν ἔχετε ὅτι ὕβρις ἐστὶ πρὸς τ. θ. τὸν λόγ. | εἶπον οἱ Ἰουδ. cum AB .. C λέγουσιν οἱ ἱερεῖς καὶ γραμματεῖς | ἵνα σταυρώσεις (B -σῃς) cum BC .. A ἵνα σταυρώσωμεν | C (item B?) ἔφη ὁ Πιλᾶτος

5. Στραφεὶς δὲ ὁ Πιλ. -- ὅτι οὐκ ἔστι (ita A; B οὐκ εἶναι) -- θέλουσιν. λέγει ὁ Πιλᾶτος cum AB .. C omnia om | εἶπ. οἱ Ἑβρ. cum A .. BC εἶπ. οὖν οἱ Ἰουδαῖοι

V, 1. Ἰουδ. οὖν μέσον σταθείς -- ἐᾶσαί με (A μοι) -- Εἰπέ, ἔφη ὁ Πιλ. (B ἔφ. ὁ Πιλ. Εἰπέ) -- ἐν τῇ συναγωγῇ Τίνα cum AB .. C nil nisi haec Ἰουδ. οὖν θεοσεβ. Νικόδημος ὀνόματι σταθεὶς μέσον πάντων ἔφη Τίνα | C om οὐδὲ μὴ ποιήσει | C om οὖν | εἰ μέν ἐστιν .. C om ἐστιν

μέλλουσιν· εἰ δέ ἐστιν ἀπὸ ἀνθρώπων, καταλυθῆναι μέλλουσιν. Καθὼς ἐγένετο καὶ ὅταν ἀπέστειλεν ὁ θεὸς τὸν Μωυσῆν εἰς τὴν Αἴγυπτον, καὶ εἶπεν πρὸς αὐτὸν ὁ Φαραὼ βασιλεὺς τῆς Αἰγύπτου ἵνα ποιήσῃ σημεῖον, καὶ ἐποίησεν. εἶτα εἶχεν ὁ Φαραὼ καὶ μάγους δύο, τὸν Ἰαννῆν καὶ τὸν Ἰαμβρῆν, καὶ ἐποίησαν καὶ αὐτοὶ σημεῖα μαγικῇ τέχνῃ χρώμενοι, οὐχὶ δὲ ὅσα ἐποίησεν ὁ Μωυσῆς. εἶχον δὲ οἱ Αἰγύπτιοι τοὺς τοιούτους μάγους ὡς θεούς· διότι δὲ οὐκ ἦσαν ἐκεῖνοι ἐκ θεοῦ, κατελύθησαν ὅσα ἐποίησαν. οὗτος οὖν ὁ Ἰησοῦς τὸν Λάζαρον ἀνέστησεν, καὶ ζῇ. διὰ τοῦτο δέομαί σου, κύριέ μου, ἵνα μηδὲν παραχωρήσῃς φονευθῆναι τοῦτον.

2 Ἐθυμώθησαν οἱ Ἑβραῖοι κατὰ τοῦ Νικοδήμου καὶ εἶπον αὐτῷ Τὴν ἀλήθειαν τοῦ Ἰησοῦ ἵνα παραλάβῃς καὶ μέρος ἵνα ἔχεις μετ᾽ αὐτοῦ. λέγει ὁ Νικόδημος Ἀμὴν ἀμήν· γένοιτό μοι καθὼς λέγετε.

## Caput VI.

1 Ταῦτα εἰπόντος τοῦ Νικοδήμου ἕτερος ἐγερθεὶς Ἑβραῖος λέγει τῷ Πιλάτῳ Δέομαί σου, κύριέ μου Πιλᾶτε, ἄκουσον κἀμοῦ. ἀπεκρίθη ὁ Πιλᾶτος Εἰπὲ ὅ τι βούλῃ. λέγει ὁ Ἑβραῖος Ἐγὼ ἐκείμην ἀσθενῶν ἐπὶ κλίνης ἔτη τριάκοντα ὀκτώ, καὶ ἰδών με ἐλυπήθη καὶ εἶπέ μοι Ἐγείρου, ἆρον τὸν κράββατόν σου καὶ

---

C om εἰ δέ ἐστιν usque καταλυϑ. μέλλ. | καὶ εἶπεν πρός cum BC . . A om καί | ὁ Φαραὼ βασ. τῆς Αἰγύπτου: BC om ὁ et τῆς | B (?) δύω | καὶ τὸν Ἰαμβρῆν: BC om τόν | καὶ ἐποίησαν καὶ αὐτοί: C om καί prius | οὐχὶ δὲ ὅσα - - κατελύϑησαν ὅσα ἐποίησ. cum A . . BC καὶ κατελύϑησαν (C ἐκατελύϑησαν) αὐτῶν τὰ σημεῖα ὑπὸ τῆς Μωσαϊκῆς ῥάβδου, διότι οὐκ ἦσαν ἐκ ϑεοῦ, εἰ καὶ ὡς ϑεοὺς εἶχον τοὺς μάγους οἱ Αἰγύπτιοι | ἀνέστησεν: C add τεταρταῖον διὰ λόγου μόνου | καὶ ζῇ: C add τὰ ἔργα αὐτοῦ παρίστανται ἀληϑινὰ πρὸς ἔλεγχον τοῦ φϑόνου τῶν Φαρισαίων. | ἵνα μηδὲν παραχωρήσῃς: C μηδὲν (sic) παραχωρήσεις | φονευϑ. τοῦτον cum AB . . C φονευϑ. τὸν τοιοῦτον ἰατρὸν καὶ ζωοτρόφον

2. Ἐϑυμώϑησαν cum A . . BC add λιάν | οἱ Ἑβραῖοι cum AB . . C οἱ γραμματεῖς | τοῦ Ἰησοῦ: C om τοῦ | ἵνα ἔχεις: ita AC; B (?) ἵνα ἔχῃς | B ter habet ἀμήν | γένοιτό μοι (B om) καϑ. λέγ. cum AB . . C om

VI, 1. Ταῦτα εἰπόντος τ. Νικ. cum AB . . C om | Ἑβραῖος cum AB . . C Ἰουδαῖος | κύριέ μου cum A . . BC om μου | ἀπεκρίϑη usque ὁ Ἑβραῖος cum A . . BC om | καὶ ἰδών με cum BC . . A praem καὶ ἀκούων τὰ ϑαύματα ὅσα ἐποίει ὁ ϑεός, ἐκονόμισα (sic) καὶ ἤγαγόν με βαστακτῶς ἄνϑρωποι μετὰ τοῦ κραββάτου ἔμπροσϑεν αὐτοῦ | ἆρον cum BC . . A καὶ ἆρον (pergit τ. κράβατόν

ὕπαγε εἰς τὸν οἶκόν σου. καὶ ἐν τῷ εἰπεῖν μοι τὸν λόγον ἠγέρθην καὶ περιεπάτουν. λέγουσιν οἱ Ἑβραῖοι Ἐρωτήσατε αὐτὸν ἐν ποίᾳ ἡμέρᾳ τῆς ἑβδομάδος τοῦτο γέγονεν. λέγει ἐκεῖνος Ἐν σαββάτῳ. εἶπον οἱ Ἰουδαῖοι Καὶ λοιπὸν ἀληθῶς ἡμεῖς λέγομεν ὅτι τὸ σάββατον οὐ τηρεῖ.

2 Ἕτερος πάλιν σταθεὶς μέσον εἶπεν Ἐγὼ ἐγεννήθην τυφλός, καὶ πορευομένου τοῦ Ἰησοῦ κατὰ τὴν ὁδὸν ἐβόησα πρὸς αὐτὸν λέγων Ἐλέησόν με, κύριε, υἱὲ Δαυίδ. καὶ λαβὼν πηλὸν ἔχρισέ μου τοὺς ὀφθαλμούς, καὶ εὐθὺς ἀνέβλεψα. Ἕτερος εἶπε Κυλλὸς ἤμην, καὶ ἰδὼν αὐτὸν ἐβόησα Ἐλέησόν με, κύριε. καὶ λαβόμενός με τῆς χειρός, εὐθὺς ἠγέρθην. Ἄλλος εἶπεν Ἐγὼ λεπρὸς ἦν, καὶ ἰάσατό με μόνον διὰ λόγου.

## Caput VII.

Εὑρέθη ἐκεῖ καὶ γυνὴ ὀνομαζομένη Βερονίκη καὶ εἶπεν ὅτι δώδεκα ἦν ἔτη ἐγὼ ἐν ῥύσει αἵματος, καὶ μόνον τοῦ ἱματίου αὐτοῦ τῆς ἄκρας ἡψάμην, καὶ εὐθὺς ἰάθην. λέγουσιν οἱ Ἰουδαῖοι Μαρτυρίαν γυναικὸς ὁ νόμος οὐ παραδέχεται.

## Caput VIII.

Ἄλλοι ἄνθρωποι ἐβόησαν Οὗτος ὁ ἄνθρωπος προφήτης ἐστί, καὶ οἱ δαίμονες αὐτὸν φοβοῦνται. λέγει ὁ Πιλᾶτος Καὶ πῶς οὐδὲν ἐφοβοῦντο οὕτω καὶ τοὺς γονεῖς ὑμῶν οἱ δαίμονες; λέγουσιν ἐκεῖνοι Οὐ γινώσκομεν. Ἄλλοι πάλιν εἶπον Τὸν Λάζαρον τέσσαρας ἡμέρας ἔχοντα ἐν τῷ μνημείῳ διὰ μόνου λόγου ἀνέ-

---

σ.) | καὶ ἐν τῷ εἰπεῖν -- περιεπάτουν cum AB .. C καὶ εὐθὺς ἦρα τὸ κλινίδιόν μου καὶ ἀπῆλθον εἰς τὸν οἶκόν μου | λέγουσιν οἱ -- γέγονεν (B ἐγένετο) -- οὐ τηρεῖ cum AB .. C om (sed vide ad finem sectionis 2.)

2. Ἕτερος πάλιν στ. μέσον (B ἐν μέσῳ) -- ἰάσατό με μόνον διὰ λόγου cum AB .. C sic: Ὁμοίως καὶ ὅ ποτε τυφλὸς ἐκ γεννητῆς (sic, non γενετῆς) καὶ ὁ λεπρὸς καὶ θάτεροι λεπροὶ καὶ παράλυτοι ἔκραζαν (sic) Διὰ λόγου μόνου τοῦ Ἰησοῦ ἰάθημεν. λέγουσιν οἱ γραμματεῖς Ἀλλὰ διὰ σαββάτου ἐποίησεν, καὶ τὸ σάββατον οὐ τηρεῖ.

VII. ἦν ἔτη cum BC .. A ἔτη ἦν | τοῦ ἱματ. αὐτ. τῆς ἄκρας cum AB .. C τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ | οἱ Ἰουδαῖοι cum AB .. C οἱ γραμματεῖς | C οὐ δέχεται

VIII. Ἄλλοι ἄνθρωποι cum AB .. C Ἄλλοι πάλιν θεοσεβεῖς | προφ. ἐστί cum AB .. C προφ. ἦν | καὶ οἱ δαίμονες -- οὕτω (A οὕτως post ὑμῶν) -- τέσσ. ἡμέρ. ἔχ. ἐν τῷ μνημείῳ (B τεταρταῖον ὄντα ἐν τῷ μνήματι) -- ἀκούσας

στησεν. ἀκούσας οὖν ὁ Πιλᾶτος τὴν ἀνάστασιν τοῦ Λαζάρου ἐφοβήθη, καὶ λέγει πρὸς τὸν λαόν Διὰ τί θέλετε ἵνα χύσητε αἷμα ἀνθρώπου δικαίου;

## Caput IX.

[1] Εἶτα προσεκαλέσατο τὸν Νικόδημον καὶ τοὺς δώδεκα θεοσεβεῖς Ἰουδαίους καὶ εἶπε πρὸς αὐτούς Τί λέγετε ἵνα ποιήσω, ὅτι ὁ λαὸς ταράσσεται; λέγουσιν ἐκεῖνοι Οὐ γινώσκομεν· ὃ βούλη, ποίησον. ὁ λαὸς δὲ ὅσον ποιεῖ, ἀδίκως ποιεῖ ἵνα αἴρῃ τοῦτον. ἐξῆλθεν πάλιν ὁ Πιλᾶτος ἔξω καὶ λέγει πρὸς τὸν λαόν Οἴδατε ὅτι ἐν ταῖς ἑορταῖς τῶν ἀζύμων ἐστὶν σύνηθες ἵνα ἐλευθερῶ δι' ὑμᾶς ἕνα ἀπὸ τῶν κεκρατημένων εἰς φρουρὰν ὑπευθύνων. ἔχω οὖν ἕνα ἐν τῇ φυλακῇ κακοῦργον λῃστὴν λεγόμενον Βαραβᾶν, ἔχω καὶ τὸν Ἰησοῦν, ὅστις ποτὲ κακὸν οὐκ ἐποίησεν· τίνα οὖν ἐκ τῶν δύο θέλετε ἵνα ἀπολύσω ὑμῖν; ἀπεκρίθη ὁ λαός Ἀπόλυσον ἡμῖν τὸν Βαραβᾶν. λέγει ὁ Πιλᾶτος Τί οὖν ποιήσω τὸν Ἰησοῦν; λέγουσιν ἐκεῖνοι Σταυρωθήτω. πάλιν ἐβόησαν ἕτεροι ἐξ αὐτῶν Ἐὰν τὸν Ἰησοῦν ἀπολύσεις, οὐκ εἶ φίλος τοῦ Καίσαρος, διότι υἱὸν θεοῦ ἑαυτὸν ὀνομάζει καὶ βασιλέα. καὶ ἐὰν ἐλευθερώσεις αὐτόν, γίνεται βασιλεὺς καὶ μέλλει λαβεῖν τὴν βασιλείαν τοῦ Καίσαρος.

[2] Ἐθυμώθη οὖν ὁ Πιλᾶτος καὶ εἶπε Πάντοτε ἡ γενεὰ ὑμῶν ἦν διαβολικὴ καὶ ἄπιστος, καὶ ἀεὶ πρὸς τοὺς εὐεργέτας ὑμῶν ἦτε ἀντίδικοι. εἶπον οἱ Ἑβραῖοι Καὶ τίνες ἦσαν ἡμῶν εὐεργέται; λέγει ὁ Πιλᾶτος Ὁ θεὸς ἐλευθερώσας ὑμᾶς ἐκ τῶν χειρῶν Φαραώ.

---

οὖν (A ἀκ. ταῦτα) -- ἀνθρώπου δικαίου (B δίκαιον ἄνθρωπον) cum AB .. C ἐκ πέντε ἄρτων χιλιάδας ἔθρεψε πέντε, καὶ ἐν ἑπτὰ ἄρτοις χιλιάδας τέσσαρας· καὶ οἱ δαίμονες αὐτὸν φοβοῦνται. λέγει ὁ Πιλᾶτος Καὶ πῶς οὐδὲν ἐφοβοῦντο οὕτω καὶ τοὺς γον. ὑμ. τὰ δαιμόνια; καὶ ἀπόκρισιν οὐκ ἔδωκαν.

IX, 1. Εἶτα προσεκαλέσατο -- ὅσον ποιεῖ ἀδίκως ποιεῖ (A om ἀδίκ. ποι.) ἵνα αἴρῃ (A εὕρῃ, B εὕρωσι) τοῦτον (uterque codex τοῦτο) cum AB .. C om | ἐξῆλθεν πάλιν: C εἶτα ἐξῆλθ. πάλ. | Οἴδατε (A Οἶδα) -- ἐστὶν σύνηθες cum AB .. C Ἔθος ἐστὶν ἐν ταῖς ἑορτ. τ. ἀζύμων | ἔχω οὖν ἕνα cum A .. BC om ἕνα | Βαραβᾶν A h. l. Βαραυβάν, sed infra Βαραβάν (hunc accentum et A et C habent) | C ἀπεκρ. ὁ ἀγνώμων λαός | C ἕτεροι ἐβόησαν | ἀπολύσεις cum C .. A (et B?) -λύσῃς | B ὀνομάζει ἑαυτόν | ἐλευθερώσεις (B -σῃς?) αὐτόν cum AB .. C αὐτ. ἀπολύσῃς | γίνεται cum BC .. A καὶ γέννηται (γεγένηται?)

2. εἰπ. οἱ Ἑβρ. cum AB .. C εἰπ. οὖν οἱ Ἰουδαῖοι | C ὁ ἐλευθερῶν ὑμᾶς | χειρ.

καὶ διαπεράσας ὑμᾶς τὴν ἐρυθρὰν θάλασσαν ὡς ἐπὶ ξηρᾶς, καὶ χορτάσας ὑμᾶς τὴν ὀρτυγομήτραν, ἐκ πέτρας ἀνίκμου ποτίσας τὸ ὕδωρ, καὶ ὁ δοὺς ὑμῖν νόμον, ὃν κατελύσατε τὸν θεὸν ἀρνησάμενοι· καὶ εἰ μὴ Μωυσῆς ἐστάθη παρακαλῶν τὸν θεόν, πικρῷ θανάτῳ ἂν ἐμέλλετε παραπολέσθαι. πάντων οὖν ἐκείνων ἐπελάθεσθε. οὕτω δὲ καὶ νῦν λέγετε ὅτι οὐδὲν ἀγαπῶ ἐγὼ τὸν Καίσαρα ἀλλ' ἔχω μῖσος εἰς αὐτόν, καὶ θέλω ἵνα ἐπιβουλεύσωμαι κατὰ τῆς βασιλείας αὐτοῦ.

[3] Καὶ ταῦτα εἰπὼν ὁ Πιλᾶτος ἠγέρθη τοῦ θρόνου μετὰ θυμοῦ, θέλων φυγεῖν ἐξ αὐτῶν. ἔκραξαν οὖν οἱ Ἰουδαῖοι λέγοντες Ἡμεῖς τὸν Καίσαρα θέλομεν βασιλεύειν ἡμῶν. οὐ τὸν Ἰησοῦν, διότι ὁ Ἰησοῦς ἐδέξατο ἐκ τῶν μάγων χαρίσματα. καὶ ἤκουσε τοῦτο καὶ ὁ Ἡρώδης ὅτι βασιλεὺς μέλλει γενέσθαι, καὶ ἠθέλησεν ἵνα φονεύσῃ αὐτόν, καὶ ἐν τούτῳ ἀπέστειλεν καὶ ἀπέκτεινεν πάντα τὰ βρέφη τὰ ἐν Βηθλεέμ. διὰ τοῦτο δὲ καὶ Ἰωσὴφ ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ ἔφυγον ἀπὸ τοῦ φόβου αὐτοῦ εἰς τὴν Αἴγυπτον.

[4] Ἀκούσας τοιγαροῦν ὁ Πιλᾶτος κατεσίγησε πάντα τὸν λαὸν καὶ λέγει Λοιπὸν οὗτός ἐστιν ὁ Ἰησοῦς, ὃν ἐζήτει ἵνα φονεύσῃ τότε ὁ Ἡρώδης; λέγουσιν αὐτῷ Ναί. γνωρίσας οὖν ὁ Πιλᾶτος ὅτι τῆς ἐπικρατείας ἐστὶ τοῦ Ἡρώδου, ὡς ἐκ τοῦ γένους καταγόμενος τῶν Ἰουδαίων ἀπέστειλεν πρὸς αὐτὸν τὸν Ἰησοῦν. ὃν ἰδὼν Ἡρώδης ἐχάρη μεγάλως· ἦν γὰρ ἐπιθυμῶν ἰδεῖν αὐτὸν

---

Φαραώ cum BC .. A χ. τοῦ Φαρ. | θάλ. ὡς ἐπὶ ξηρὰς (A ξηρῆς) cum AB .. C θάλ. διὰ ξηρᾶς | ὀρτυγομήτραν cum BC .. A μάννα ἐν ἐρήμῳ | ἐκ πέτρας -- τὸ ὕδωρ cum BC .. A καὶ ποτίσ. ὑμ. ὕδωρ ἐκ πέτρ. | καὶ ὁ δούς cum AB .. C καὶ διδούς | τὸν (C καὶ τὸν) θεόν .. B om τόν | A ἂν (C om) ἐμέλλ. πάντες παρ. | ἐπελάθεσθε cum BC .. A add καὶ εἰς μετάνοιαν οὐκ ἔρχεσθε | οὕτω δέ: C om δέ | ὅτι: non est in ABC | οὐδέν cum BC . A οὐδέ | θέλω ἵνα ἐπιβουλεύσωμαι cum AB .. C θέλω ἐπιβουλεύσομαι

3. τοῦ θρόνου: ita (absque ἀπό) AB .. C om | C om θέλ. φυγ. ἐξ αὐτ. | C ἔκραξ. οὖν πάλιν | C om ὁ Ἰησοῦς | ἐδέξ. ἐκ τ. μ. cum AC .. B ἐκ τ. μ. ἐδέξ. | καὶ ἤκουσε τ. κ. ὁ (B om) Ἡρώδ. -- καὶ ἠθέλ. cum AB .. C τοῦτο ἀκούσας Ἡρ. -- ἠθέλ. | C ἵνα φονεύσει αὐτόν | A ἀπέκτειναν | διὰ τοῦτο δέ cum A .. BC om δέ | B καὶ ὁ Ἰωσ. ὁ | ἀπὸ τ. φ. αὐτοῦ (ita A*; A**B αὐτῶν) cum AB .. C om | C εἰς Αἴγυπτον

4. κατεσίγησε cum C .. AB praem τοὺς τοιούτους λόγους καὶ φοβηθεὶς | λέγει cum BC .. A εἶπε | ἐζήτει ἵνα φον. τότε ὁ Ἡρώδ. cum A .. BC ἐζήτει τότε Ἡρώδ. φονεῦσαι | ὡς ἐκ τοῦ γ. κ. τ. Ἰουδ. cum A .. BC om | BC τὸν Ἰησ. πρὸς αὐτ. | ὃν ἰδὼν -- μεγάλως cum A .. BC καὶ ἰδὼν αὐτὸν ὁ Ἡρώδη

ἀπὸ πολλοῦ ἀκούων τὰ θαύματα ἃ ἐποίει. ἐνέδυσεν οὖν αὐτὸν ἱμάτια λευκά· εἶτα ἤρξατο αὐτὸν ἐρωτᾶν. ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ. θέλων δὲ ὁ Ἡρώδης ἰδεῖν καὶ θαῦμά τί ποτε γενόμενον παρὰ τοῦ Χριστοῦ καὶ μὴ ἰδών, ἀλλ᾽ ὅτι οὐδὲ ἀπεκρίνατο πρὸς αὐτὸν τὸν τυχόντα λόγον, αὐτὸν ἀπέστειλεν αὖθις πρὸς τὸν Πιλᾶτον. τοῦτο ἰδὼν ὁ Πιλᾶτος εἶπε τοῖς ὑπηρέταις αὐτοῦ ἀγαγεῖν ὕδωρ. νιπτόμενος οὖν τὰς χεῖρας μετὰ τοῦ ὕδατος ἔφη πρὸς τὸν λαόν Ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ καλοῦ ἀνθρώπου τούτου. ὑμεῖς ὄψεσθε ὅτι ἀδίκως φονεύεται, ἐπεὶ οὔτε ἐγὼ εὗρον ἐν αὐτῷ αἰτίαν, ἀλλ᾽ οὔτε Ἡρώδης· διὰ τοῦτο γὰρ ἔπεμψεν αὖθις τοῦτον πρὸς ἐμὲ ὄπισθεν. εἶπον οἱ Ἰουδαῖοι Τὸ αἷμα αὐτοῦ ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν.

5 Τότε ἐκάθισεν ὁ Πιλᾶτος εἰς τὸν θρόνον αὐτοῦ ἵνα ποιήσῃ ἀπόφασιν. ὥρισεν οὖν, καὶ ἦλθεν ἔμπροσθεν αὐτοῦ ὁ Ἰησοῦς. καὶ ἔφερον στέφανον ἐξ ἀκανθῶν καὶ ἔθηκαν ἐπὶ τὴν κεφαλὴν

---

ἐχάρη λίαν | ἃ ἐποίει cum A .. sed BC haec add: οὐχ ὡς μέλλων τι κερδᾶναι (C κερδάναι) ψυχωφελὲς (C τι repetit ante ψυχ.) ὁ Ἡρώδης ἐκ τῆς θέας τοῦ Ἰησοῦ, ἀλλ᾽ ὅτι ἤκουεν ὅτι σοφός ἐστιν καὶ τερατουργός, ἐπεθύμει ἰδεῖν ἀλλόκοτον ἄνθρωπον καὶ ἀκοῦσαι αὐτοῦ τί λέγει, οὐχ ἵνα πιστεύσει (ita C; B -σῃ) | ἱμάτ. λευκά cum A .. BC add ἤγουν λαμπρὰν ἐσθῆτα | ἐρωτᾶν cum A .. BC add Πόθεν εἶ καὶ ποίου γένους | ἀπόκρ. οὐκ ἔδ. αὐτ. cum A .. BC ἐσιώπα. Iidem add εἱστήκεισαν δὲ καὶ οἱ ἀρχιερεῖς κατηγοροῦντες αὐτόν | ἰδεῖν καὶ θαῦμα cum A .. BC praem αὐτόν | αὐτὸν (sed videtur potius ἀντ- scriptum esse) ἀπέστ. cum A .. BC praem ἐμπαίξας | τοῦτο (ita BC; A τοῦτον) ἰδών .. BC istis haec praem: καὶ ἐγένοντο φίλοι ὅ τε Πιλᾶτος καὶ Ἡρώδης ἐν αὐτῇ τῇ ἡμέρᾳ μετ᾽ ἀλλήλων· προϋπῆρχον ἐν ἔχθρᾳ ὄντες πρὸς ἑαυτούς. ὁ δὲ λαὸς ἔκραξε (B -ξε) πρὸς τὸν Πιλᾶτον λέγοντες (B λέγων) Σταυρωθήτω. λέγει ὁ Πιλᾶτος Τὸν βασιλέα ὑμῶν σταυρώσω; οἱ δὲ μεγάλως ἔκραζον Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα. | ὑπηρέταις cum AB .. C στρατιώταις | νιπτόμενος οὖν: A praem καὶ οὗτοι ἔφερον | τοῦ καλοῦ (A add τοῦ) ἀνθρ. τούτ. cum A .. BC τοῦ δικαίου τούτου καὶ καλοῦ ἀνθρ. | φονεύεται: A praem τοῦτο | ἀλλ᾽ οὔτε cum BC .. A οὐδέ | πρὸς ἐμέ cum A .. BC πρ. με | εἶπον cum A .. BC add οὖν

5. Τότε ἐκάθισεν cum A .. BC praem haec: οἱ δὲ ἀρχιερεῖς ἐθορυβοῦντο ἵνα τὸν Ἰησοῦν συντόμως ἀπολέσωσιν. τότε λέγει τῷ Ἰησοῦ ὁ Πιλᾶτος Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ. λέγει ὁ Πιλᾶτος Ἐμοὶ οὐ λαλεῖς; οὐκ οἶδας ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε καὶ ἐξουσίαν ἔχω ἀπολῦσαί σε; εἶπεν οὖν αὐτῷ ὁ Ἰησοῦς Οὐκ ἔχεις (ita uterque) ἐξουσίαν κατ᾽ ἐμοῦ οὐδεμίαν, εἰ μὴ ἦν σοι δεδομένον ἄνωθεν· διὰ τοῦτο ὁ παραδιδούς μέ σοι μείζονα (C μείζων) ἁμαρτίαν ἔχει. | ὁ Πιλ. εἰς τ. θρ. αὐτ. cum AB .. C ἐν θρόνῳ ὁ Πιλ. | ἵνα ποιήσῃ (A -ήσι) ἀπόφ. cum AB .. C ἵνα ἀπόφασιν δῷ, et add (item B?) κατὰ τοῦ Ἰησοῦ | ἔμπροσθεν αὐτοῦ: A om αὐτοῦ | ἔθηκαν cum

αὐτοῦ καὶ κάλαμον ἐπὶ τὴν δεξιὰν αὐτοῦ χεῖρα. εἶτα ἐποίησεν ἀπόφασιν, καὶ λέγει πρὸς αὐτόν Ἡ γενεά σου λέγει καὶ μαρτυρεῖ σε ὅτι θέλεις ἵνα βασιλεύσῃς· διὰ τοῦτο ὁρίζω ἵνα σε τύψωσι πρῶτον μετὰ ῥάβδου πληγὰς τεσσαράκοντα, καθὼς ὁρίζουσιν οἱ νόμοι τῶν βασιλέων, καὶ ἵνα σε ἐμπαίξωσι, καὶ τελευταῖον ἵνα σε σταυρώσωσιν.

## Caput X.

1 Τῆς τοιαύτης οὖν ἀποφάσεως γενομένης παρὰ τοῦ Πιλάτου ἤρξαντο οἱ Ἰουδαῖοι τύπτειν τὸν Ἰησοῦν, οἱ μὲν ῥάβδοις, οἱ δὲ χερσίν, οἱ δὲ ποσίν· οἱ δὲ καὶ εἰς τὸ πρόσωπον αὐτοῦ ἔπτυον. εὐθὺς οὖν κατασκευάσαντες τὸν σταυρὸν καὶ δόντες τοῦτον πρὸς αὐτὸν ἐπέταντο ὁδεύειν. καὶ οὕτω πορευόμενος, βαστάζων καὶ τὸν σταυρόν, ἦλθε μέχρι καὶ τῆς πύλης τῆς πόλεως Ἱεροσολύμων. ἀπὸ τῶν πολλῶν οὖν πληγῶν καὶ ἀπὸ τοῦ βάρους τοῦ σταυροῦ μὴ δυναμένου τούτου περιπατεῖν, ἐκ τῆς ἐπιθυμίας ἧς εἶχον οἱ Ἰουδαῖοι σταυρῶσαι αὐτὸν ὅσον τάχος, ἄραντες ἀπ' αὐτοῦ τὸν σταυρὸν ἔδωκαν αὐτὸν πρός τινα συναντήσαντα αὐτοῖς ὀνόματι Σίμωνα, ὅστις εἶχε καὶ δύο υἱούς, Ἀλέξανδρον καὶ Ῥοῦφον· ἦν δὲ ἀπὸ Κυρήνης τῆς πόλεως. ἔδωκαν οὖν πρὸς αὐτὸν τὸν σταυρόν, οὐχ ὡς ἐλεοῦντες τὸν Ἰησοῦν καὶ ἐλαφρύνοντες ἀπὸ τοῦ βάρους αὐτόν, ἀλλ' ἐπιθυμοῦντες, ὡς εἴρηται, φονεῦσαι αὐτὸν συντομώτερον.

---

A (-κεν) B .. C add μετὰ πυγμῆς | καὶ κάλαμον cum AB .. C praem καὶ ἱμάτιον πορφυροῦν περιέβαλον αὐτῷ (codex αὐτό) ἤγουν χλαμύδα κοκκίνην | ἵνα βασιλεύσῃς: C -σεις, A -ῃς | ἵνα σε τύψωσι πρῶτον cum AB .. C ἵνα δήσωσί σε ἐπὶ τὸν κίονα καὶ τύψωσι | A ἐμπαίξουσι

X, 1. τύπτειν τὸν Ἰησοῦν -- ἔπτυον cum A .. C (similiterque ut videtur B) τύπτειν τὸν Ἰησοῦν ἐπὶ τὸν νῶτον καὶ πᾶν μέλος, οἱ μὲν βουνεύροις, οἱ δὲ ῥάβδοις, ἄλλοι χερσίν, ἕτεροι ποσίν· οἱ δὲ εἰς τὸ πρόσωπον ἔπτυον, θάτεροι ἐράπιζον ἐξ ὄπισθεν εἰς τὸ πρόσωπον, καὶ ἄλλοι ἔλεγον ἔμπροσθεν Προφήτευσον τίς ἐστιν ὁ παίσας σε· ἕτεροι γονυπετοῦντες ἔμπροσθεν αὐτοῦ ἐνέπαιζον αὐτῷ λέγοντες Χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων | καὶ δόντες τοῦτον cum A .. BC praem ὑπήγοντο πρὸς τὸ σταυρῶσαι αὐτόν | βαστάζων καὶ τόν (C om) cum AC .. B καὶ βαστ. τόν | μέχρι καί cum A .. BC om καί | μὴ δυναμένου τούτου cum A .. BC μὴ δυνάμενον τοῦτον | ἐκ τῆς ἐπιθυμίας: BC praem οὗτοι | ἧς cum AC .. B ἥν | ὅσον τάχος cum A .. BC τάχος | πρός τινα (A om τινα): BC add Κυρηναῖον | Σίμωνα: BC add ἐξερχόμενον (C -μένου) ἀπ' ἀγροῦ | συντομώτερον: BC add ἠγγάρευσαν οὖν αὐτὸν τὸν Κυρηναῖον ἵνα ἄρῃ τὸν σταυρὸν αὐ-

2 Ἠκολούθει οὖν ἐκεῖ ἐκ τῶν μαθητῶν αὐτοῦ ὁ Ἰωάννης.

Εἶτα φυγὼν ὑπάγει πρὸς τὴν θεοτόκον καὶ λέγει αὐτῇ Ποῦ ἦσθα καὶ οὐκ ἦλθες ἵνα ἴδῃς τί ἐγένετο; ἀπεκρίθη αὐτή Τί ἐστιν ὅπερ ἐγένετο; λέγει ὁ Ἰωάννης Γίνωσκε ὅτι ἐπίασαν οἱ Ἰουδαῖοι τὸν διδάσκαλόν μου καὶ ὑπάγουσιν ἵνα σταυρώσωσιν αὐτόν. ἀκούσασα τοῦτο ἡ μήτηρ αὐτοῦ ἔκραξε φωνῇ μεγάλῃ λέγουσα Υἱέ μου, υἱέ μου, τί ἄρα κακὸν ἐποίησας καὶ ὑπάγουσίν σε ἵνα σταυρώσουσιν; ἠγέρθη ὥσπερ ἐσκοτισμένη, καὶ ἀπέρχεται κλαίουσα κατὰ τὴν ὁδόν. ἠκολούθουν αὐτῇ καὶ γυναῖκες, ἥ τε Μάρθα καὶ Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ Σαλώμη, καὶ ἕτεραι παρθένοι. ἦν δὲ καὶ Ἰωάννης μετ᾽ αὐτῆς. ὡς οὖν ἔφθασαν εἰς τὸ πλῆθος τοῦ ὄχλου, λέγει ἡ θεοτόκος πρὸς τὸν Ἰωάννην Ποῦ ἔστιν ὁ υἱός μου; λέγει ὁ Ἰωάννης Ὁρᾷς ἐκεῖνον τὸν φοροῦντα τὸν στέφανον τὸν ἀκάνθινον καὶ τὰς χεῖρας δεδεμένον; ἀκούσασα ἡ θεοτόκος καὶ ἰδοῦσα αὐτὸν ὀλιγοψύχησε καὶ ἔπεσεν ἐξ ὀπίσω εἰς τὴν γῆν, καὶ ἔκειτο ἱκανὴν ὥραν· καὶ αἱ γυναῖκες ὅσαι ἠκολούθουν αὐτῇ ἱστάμεναι γύρωθεν αὐτῆς ἔκλαιον. ἀφ᾽ οὗ δὲ ἀνέπνευσε καὶ ἠγέρθη, ἐβόησε φωνῇ μεγάλῃ λέγουσα Κύριέ μου, υἱέ μου, ποῦ

---

τοῦ. καὶ φέρουσιν αὐτὸν ἐπὶ Γολγοϑὰ (-ϑὰ C, -ϑᾶ B) τόπον, ὅ ἐστι μεϑερμηνευόμενον κρανίου τόπος.

2. Ἠκολούϑει: A -λούϑησαν (sic) | λέγει αὐτῇ (A αὐτήν) cum A .. C (similiterque B per totam hanc sectionem) λέγει μετὰ δακρύων Ὦ κυρία μου καὶ μῆτερ τοῦ διδασκάλου μου | ἦλϑες ἵνα ἴ. τ. ἐγ. cum A .. C εἶδας τὸ συμβάν | αὐτή Τί -- ἐγέν. cum A .. C ἡ πάναγνος Τί ἐστιν, Ἰωάννη | λέγει ὁ Ἰω. Γίνωσκε -- σταυρώσ. αὐτόν cum A .. C ὁ δὲ μετὰ ϑερμῶν δακρύων καὶ οἰμωγῶν ἀπείρων ἔφη Τὸν φίλτατον υἱόν σου καὶ διδάσκαλόν μου ὑπάγουσιν οἱ ἀχάριστοι καὶ ἄϑεοι Ἰουδαῖοι σταυρῶσαι αὐτόν· τὸν ὡραῖον κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνϑρώπων ἄμορφον ἐποιήσασι (sic) μετὰ δαρμῶν | ἀκούσασα -- σε (in codice deest) ἵνα σταυρώσουσιν cum A .. C ἀκούσ. τοῦτο ἡ ϑεοτόκος ἔκραξε μεγάλῃ τῇ φωνῇ Οἴμοι οἴμοι, υἱέ μου γλυκύτατε· τί γὰρ κακὸν ἐποίησας τοῖς Ἰουδαίοις καὶ ὑπάγουσίν σε σταυρῶσαι; | ἠγέρϑη -- κατὰ τὴν ὁδόν cum A .. C ἐκαϑέζετο δὲ καὶ ἠγέρϑη ὡς ἐσκοτισμένη καὶ ἀπήρχετο δρομαία κλαίουσα κατὰ τ. ὁδ. | καὶ γυναῖκες: C add κλαίουσαι | C καὶ Σαλώμη | C τὸν ἀκάνϑινον στέφανον | τὰς χεῖρ. δεδεμένον cum A .. C praem καὶ τὸ πρόσωπον μεμελανωμένον ἐκ τῆς πληγῆς τοῦ ἐξ (dele?) ἀκανϑίνου στεφάνου καὶ τῶν ἐμπτυσμάτων. Praeterea A, non item C, post δεδεμένον add ἐκεῖνός ἐστιν | ἀκούσασα ἡ ϑεοτ. -- ἔκλαιον cum A .. C ἀκούσ. ἡ ϑεοτ. τὰς χεῖρας δεδεμένον καὶ ἰδ. αὐτὸν ὀλιγοψύχως ἔπεσεν ὄπισϑεν χαμαὶ εἰς τὴν γῆν, καὶ ἔκειτο ἐπὶ ἱκανὴν ὥραν· καὶ αἱ -- ἱστάμεναι γύρ. αὐτῆς καὶ ἔκλαιον | ἀφ᾽ οὗ δὲ -- φωνῇ μεγ. λέγουσα Κύριέ μου, υἱέ μου cum A .. C vero plurima de suo addit. Habet enim ita: ἀφ᾽ οὗ δὲ ἀν. κ. ἠγέρϑη, δραμοῦσα ὡς λέαινα ὑπὸ (potius ἀπό?) ἀγροῦ καὶ διαρρήξασα τὰ ἱμάτια αὐτῆς,

τὸ κάλλος ἔδυ τῆς μορφῆς σου; πῶς ὑπομενῶ θεωρεῖν σε τοιαῦτα πάσχοντα; καὶ ταῦτα λέγουσα κατέξαινε μετὰ τῶν ὀνύχων τὸ πρόσωπον αὐτῆς καὶ ἔτυπτε τὸ στῆθος. ποῦ διέβησαν, ἔλεγε, τὰ ἀγαθὰ ὅσα ἐποίησας ἐν τῇ Ἰουδαίᾳ; τί κακὸν πρὸς τοὺς Ἰουδαίους ἐποίησας; οὕτως οὖν ἰδόντες αὐτὴν οἱ Ἰουδαῖοι θρηνοῦσαν καὶ κράζουσαν, ἦλθον καὶ ἐδίωξαν αὐτὴν ἀπὸ τῆς ὁδοῦ· ἡ δὲ οὐκ ἐπείθετο φυγεῖν, ἀλλ' ἔμενε λέγουσα ὅτι φονεύσατε ἐμὲ πρῶτον, Ἰουδαῖοι παράνομοι.

[3] Τότε ἀπεσώθησαν εἰς τὸν λεγόμενον Κρανίον τόπον, ὃς ἦν λιθόστρωτος, καὶ ἐκεῖ ἔστησαν οἱ Ἰουδαῖοι τὸν σταυρόν. ἔπειτα ἐξέδυσαν τὸν Ἰησοῦν, καὶ ἔλαβον τὰ ἱμάτια αὐτοῦ οἱ στρατιῶται καὶ διεμερίσαντο ταῦτα πρὸς ἑαυτούς, αὐτῷ δὲ ἐνέδυσαν ῥάσον κόκκινον, καὶ ἀνεβίβασαν αὐτὸν καὶ ἐκάρφωσαν ἐν

---

οὐρανολόξως (?) ὑπεβλέπετο τοὺς Ἰουδαίους λέγουσα Δότε μοι ἄνδρες ὁδὸν περιπατῆσαι καὶ περιπλακῆναι τῷ τραχήλῳ τοῦ ἀρνίου μου· δότε μοι ἄνδρες τόπον ὅπως κλαύσω τὸν παμφίλτατον υἱόν μου, τὸ ἀρνίον τῆς ψυχῆς μου· δότε μοι ἄνδρες τόπον [ἵνα] τύχω τὸ Ξυλλαγγάλακτον (?) τῶν μασθῶν μου· δότε ἄνδρες τόπον ὅπως θεωρήσω καὶ κλαύσω τὸν γλυκύτατον υἱόν μου. καὶ τὸ στῆθος αὐτῆς τύπτουσα ἐβόα λέγουσα Οἴμοι οἴμοι, γλυκύτατε υἱέ, φῶς τῶν ἐμῶν ὀφθαλμῶν, παμβασιλεῦ. οἴμοι οἴμοι, πῶς ὑπομενῶ θεωρῶν σε ἐν σταυρῷ κρεμάμενον; οἴμοι οἴμοι, ποῦ μοι τοῦ Γαβριὴλ τὰ εὐαγγέλια; δεῦτε πάντες κλαύσατε τὴν τετραυματισμένην μου ψυχήν, ὅτι τὸν μονογενῆ μου υἱὸν καὶ γλυκύτατον βλέπω ἀπαγόμενον ὡς ἀρνίον ἄκακον ἐπὶ σταυροῦ καὶ ὡς κατάδικον ταῖς χερσὶ δεδεμένον, καὶ τὸν τανύσαντα τὸν οὐρανὸν ὡσεὶ δέρριν ὡς λῃστὴν μετὰ λῃστῶν ἀπαγόμενον. δεῦτε ἀκούσατε λαοὶ φυλαὶ καὶ γλῶσσαι, τοιοῦτον ἄδικον θάνατον δίδουν (sic) τοῦ υἱοῦ μου. καὶ πάλιν γεγωνοτέρᾳ φωνῇ ἐβόα λέγουσα Υἱέ μου, υἱέ μου γλυκύτατε | Ποῦ τὸ κάλλος - - πάσχοντα cum A .. C sic: Ποῦ σου τὸ κάλλος ἔδυ τῆς μορφῆς; πῶς ἀγνώριστος φαίνῃ μοι· ὁ ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων ἧς (codex ἦν) πρότερον, νῦν δὲ ἀγνώριστος εἶ (codex εἴη), γλυκύτατε. πῶς ὑπομενῶ θεωρῶν σε τοιαῦτα πάσχοντα; | καὶ ταῦτα λέγουσα - - καὶ (codex om) ἔτυπτε - - πρὸς τ. Ἰουδ. ἐποίησας cum A .. C καὶ ταῦτα λέγουσα ἔτυπτε τὸ στῆθος αὐτῆς καὶ δακρυρροοῦσα μετὰ οἰμωγῶν βαρέων λέγουσα Ποῦ ἔδυ, υἱέ μου, τὰ ἀγαθὰ ὅσα ἐποίησας ἐν τῇ Ἰουδαίᾳ; τί γὰρ κακόν, υἱέ μου γλυκύτατε, πρὸς τοὺς ἀχαρίστους Ἰουδαίους ἐποίησας; ἀντὶ ἀγαθῶν κακὰ ἔλαβες· ἀντὶ τοῦ ἀγαπᾶν σε, υἱέ μου παμφίλτατε, τὸν ψόγον προσεφέρασι (sic) καὶ σταυρῷ σε προσηλῶσαι βούλονται. οἴμοι, οἴμοι. | ἐδίωξαν cum A .. C ἐδίωκον | ὅτι φονεύσατε: C om ὅτι

3. Τότε ἀπεσώθησαν (ita B; A ἀπεσύθησαν; C ἔσωσαν) - - Κρανίου (ita A; C κρανίου) - - τὸν σταυρόν | ἔπειτα ἐξέδυσαν τὸν Ἰησοῦν - - ἕκτῃ τῆς ἡμέρας cum A .. C vero in hunc modum exaggerata habet: καὶ ἐξέδυσαν τὰ ἱμάτια αὐτοῦ, καὶ διεμερίσαντο ταῦτα οἱ στρατιῶται πρὸς ἑαυτούς, καὶ τὸν χιτῶνα. ἦν δὲ ὁ χιτὼν ἄραφος ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι' ὅλου· εἶπον οὖν πρὸς ἀλλήλους οἱ στρατιῶται Μὴ σχίσωμεν αὐτόν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ τίνος ἔσται. τοῦτο

τῷ σταυρῷ ὥρᾳ ἕκτῃ τῆς ἡμέρας. μετὰ ταῦτα ἔφερον καὶ δύο ληστάς, τὸν μὲν δεξιᾷ αὐτοῦ, τὸν δὲ ἀριστερᾷ.

4 Τότε ἡ θεοτόκος ἱσταμένη καὶ βλέπουσα ἔκραξε φωνῇ

---

ὅλον γέγονεν ἵνα ἡ γραφὴ πληρωθῇ ἡ λέγουσα Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλλον κλῆρον. καὶ γονυπετοῦντες ἔμπροσθεν αὐτοῦ ἐνέπαιζον αὐτὸν λέγοντες Χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων. καὶ ἐμπτύσαντες αὐτὸν ἔλαβον τὸν κάλαμον καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ. καὶ ὅτε ἐνέπαιξαν αὐτόν, τότε αὐτὸν ἐσταύρωσαν. ἦν δὲ ὥρα ἕκτη τῆς ἡμέρας, παρασκευῆς οὔσης, ὅτε ἀνεβίβασαν αὐτὸν ἐν τῷ σταυρῷ καὶ ἐκάρφωσαν τανύσαντες τὰς παναχράντους αὐτοῦ χεῖρας, ὡς ἦν δυνατόν, καὶ τοὺς πόδας αὐτοῦ σύραντες κάτωθεν. Praeterea C h. l. add Ὁ δὲ Πιλᾶτος ἔγραψε τίτλον, καὶ ἐπέθηκεν (cod. ἐπέθηκαν) ἐπάνω αὐτοῦ τὴν αἰτίαν αὐτοῦ γεγραμμένην γράμμασιν ἑλληνικοῖς καὶ ῥωμαϊκοῖς (perperam additum est Ἰουδαίων) καὶ ἑβραϊκοῖς λέγων Οὗτός ἐστιν ὁ βασιλεὺς τῶν Ἰουδαίων. οἱ δὲ ἀρχιερεῖς ἔλεγον Μὴ γράφε οὕτως, ἀλλ᾽ ὅτι αὐτὸς εἶπεν (sic). ὁ δὲ Πιλᾶτος ἔλεγεν Ὃ γέγραφα, γέγραφα. | μετὰ ταῦτα ἔφερον -- ἀριστερᾷ cum A .. C τότε σταυροῦνται σὺν αὐτῷ δύο λησταί, εἷς ἐκ δεξιῶν ὀνόματι Δυσμᾶς, καὶ εἷς ἐξ εὐωνύμων ὀνόματι Γίστας. οἱ δὲ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν καὶ λέγοντες Οὐαὶ ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτὸν καὶ κατάβηθι ἀπὸ τοῦ σταυροῦ. ὁμοίως καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες πρὸς ἀλλήλους μετὰ τῶν γραμματέων λέγοντες Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι, ὁ Χριστὸς ὁ υἱὸς (? βασιλεύς?) τοῦ Ἰσραήλ· καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, ἵνα ἴδωμεν καὶ πιστεύσωμεν αὐτῷ.

4. Τότε ἡ θεοτόκος -- Υἱέ μου, υἱέ μου cum A .. horum loco C longas Mariae lamentationes habet. Legitur enim ibi sic: Καὶ ταῦτα πάλιν ἀκούσασα ἡ θεοτόκος λυπουμένη καὶ ἐκ βάθους κράξασα Ὦ πόποι (praeterea additur quod corruptum est μ᾽ἐγόντος), καὶ πρὸς τὸν ἀρχάγγελον ἔλεγεν Ὦ Γαβριήλ, ποῦ εἶ ἵνα δικάσομαι μετὰ σοῦ; ποῦ μοι τὸ Χαῖρε ὃ ἔφης; πῶς οὐκ εἶπές μοι ἔκτοτε τὰ ἄμετρα βάσανα τοῦ γλυκυτάτου καὶ φιλτάτου μου υἱοῦ, καὶ [τοῦ] μονογενοῦς τὸν ἄδικον θάνατον; πῶς οὐκ εἶπές μοι τὴν ἀπαραμύθητον θλῖψιν .... (quae sequuntur corrupta sunt; scripta enim ita sunt: τῆς ἐμῆς μόνης μοῦ ἀγαπητοῦ υἱοῦ); πῶς οὐκ εἶπές μοι τὸ ἀνεκδιήγητον καὶ τεθλιμμένον χωρισμὸν τοῦ σπλαγχνικοῦ μου υἱοῦ καὶ τὴν στέρησιν τῶν ἐσκοτισμένων μου ὀφθαλμῶν; πῶς τότε οὐκ εἶπές μοι τὴν πανεπίβουλον παράδοσιν τοῦ υἱοῦ μου παρὰ τοῦ δολίου καὶ παρανόμου Ἰούδα τοῦ μαθητοῦ καὶ ἐπιβούλου; κύριε ἐλέησον. πῶς οἱ τετυφλωμένοι καὶ ἐσκοτισμένοι μου ὀφθαλμοὶ βλέπουσι τοσαῦτα βάσανα τοῦ γλυκυτάτου καὶ σπλαγχνικωτάτου μου υἱοῦ; τίς ἐν πάσῃ τῇ οἰκουμένῃ εἶχεν τοιούτους πόνους, καὶ εὑρεθῇ κατασβέσαι μου τοὺς τοιούτους βαρυτάτους πόνους καὶ στεναγμοὺς τοῦ χωρισμοῦ τοῦ μονογενοῦς μου υἱοῦ καὶ θεοῦ; οἴμοι οἴμοι, υἱέ μου παμφίλτατε. ποῦ καταφύγω ἢ ποῦ προσδράμω; οἴμοι, τέκνον, οἴμοι. καὶ πῶς φανήσομαι τοῖς ἀνθρώποις (corrupte additur τῆς τοσαύτης λυπημένης καὶ παραπονεμένης); τί εἶχον λέγειν καθ᾽ ἑαυτῶν ὑπὲρ ἐμέ; οἴμοι, αὕτη ἐστὶν τοῦ (in codice scriptum est τοῦτόδυνος) κεκριμένου μήτηρ, ὅσπερ ἐκαλεῖτο βασιλεὺς καὶ υἱὸς τοῦ θεοῦ. οἴμοι, γλυκύτατε υἱέ μου, πῶς ἔχω μνησθῆναι τῆς ἀμέτρου καὶ σπλαγχνικῆς σου ἀγάπης; ἀλλ᾽ ἕως θανάτου ἔστωσαν ἐν ἐμοὶ λύπη, θλίψεις, πόνοι, δάκρυα καὶ στεναγμοὶ ἀπαραμύθητοι. καὶ οὐκ ἔστιν ἐν ἐμοὶ παρηγορία, υἱέ μου, οὐδεμία, ὅτι, ἄρτι βλέπι ˙ χωρίζομαι ἀπὸ σοῦ. καὶ λοιπόν, υἱέ μου,

μεγάλη λέγουσα Υἱέ μου, υἱέ μου. Καὶ στραφεὶς πρὸς αὐτὴν ὁ Ἰησοῦς καὶ ἰδὼν τὸν Ἰωάννην πλησίον αὐτῆς καὶ κλαίοντα μετὰ τῶν λοιπῶν γυναικῶν εἶπεν Ἰδοὺ ὁ υἱός σου. ἔπειτα λέγει καὶ πρὸς τὸν Ἰωάννην Ἰδοὺ ἡ μήτηρ σου. Ἡ δὲ ἔκλαιε μεγάλως λέγουσα Διὰ τοῦτό σε κλαίω, υἱέ μου, ὅτι πάσχεις ἀδίκως, ὅτι σε παρέδωκαν οἱ παράνομοι Ἰουδαῖοι εἰς πικρὸν θάνατον. χωρὶς σοῦ, υἱέ μου, τί ἐγὼ γενήσομαι; πῶς ζήσω χωρὶς σοῦ; ποταπὴν βιοτὴν διάξω; ποῦ οἱ μαθηταί σου οἱ καυχώμενοι συναποθνήσκειν σοι; ποῦ οἱ παρὰ σοῦ ἰαθέντες; πῶς οὐχ εὑρέθη τις βοηθῆσαί σοι; Καὶ πρὸς τὸν σταυρὸν ἀφορῶσα ἔλεγε Κλῖνον σταυρέ, ἵνα περιλαβοῦσα τὸν υἱόν μου καταφιλήσω τὸν ἐμὸν υἱόν, ὃν ἐν τοῖς μασθοῖς τούτοις ξενοτρόπως ὡς μὴ ἄνδρα γνῶσα ἐθήλασα. κλῖνον σταυρέ, βούλομαι τῷ υἱῷ μου περιπλακῆναι· κλῖνον σταυρέ, ἵνα τῷ υἱῷ μου ὡς μήτηρ συντάξωμαι. Ταῦτα ἀκούοντες οἱ Ἰουδαῖοι προσελθόντες ἐδίωξαν καὶ αὐτὴν καὶ τὰς γυναῖκας καὶ τὸν Ἰωάννην μακράν.

ἀποθανοῦμαι κἀγὼ ἅμα σὺν σοί, καὶ ἐλθέτω, δέομαί σου υἱέ, ὁ ἀρχάγγελος Γαβριὴλ ὁ δόσας μοι πρῶτον τότε χαράν, καὶ συνζεύξει τὴν ψυχήν μου μετὰ σοῦ. πάλιν ἔκραξε φωνῇ μεγάλῃ μετὰ οἰμωγῶν [καὶ] δακρύων καὶ ἀτενίζουσα πρὸς αὐτόν Υἱέ μου, υἱέ μου, τί πέπονθα οὕτως αἰφνιδίως; τί γένωμαι χωρὶς σοῦ, υἱέ μου; | Καὶ στραφεὶς -- Ἰδοὺ ἡ μήτηρ σου cum A .. C τότε στραφεὶς πρὸς τὴν μητέρα ὁ Ἰησοῦς καὶ ἰδὼν τὴν μητέρα καὶ τὸν ἀγαπητὸν μαθητὴν Ἰωάννην ἱστάμενον πλησίον αὐτῆς καὶ κλαίοντα μετὰ τῶν λοιπῶν γυναικῶν, εἶπε πρὸς τὴν θεοτόκον ὁ Ἰησοῦς Γύναι, ἰδοὺ ὁ υἱός σου· ἔπειτά φησι πρὸς τὸν Ἰωάννην Ἰδοὺ ἡ μήτηρ σου | Ἡ δὲ ἔκλαιε -- βοηθῆσαί σοι cum A .. C ἡ δὲ θεοτόκος κλαίων (sic) ἐκραύγαζεν Διὰ τ. σε κλ., υἱέ μου, διότι σε παρέδωκαν οἱ παράν. Ἰουδ. εἰς πικρὸν καὶ ἄτιμον θάνατον, ὡς ἐκεῖνοι νομίζουν (sic)· ἀλλ' ὁ θάνατός σου, υἱέ μου, ἅγιος καὶ δίκαιος καὶ σωτηρία τοῦ κόσμου παντὸς εὑρεθήσεται. ἐκτὸς σοῦ, υἱέ μου, ποταπὴν βιοτὴν διάξω; | Καὶ πρὸς τὸν σταυρὸν -- βούλομαι (codex uterque βουλομένη) -- συντάξωμαι cum A .. C καὶ πρ. τ. σταυρ. ἀφορ. ἔλεγεν Κλῖνον στ., ἵνα περιλαβοῦσα τὸν υἱ. μου καὶ καταφιλήσω τὰ σπλάγχνα μου, τὰ φύλλα τῆς καρδίας μου, ὃν ἐν τοῖς μασθοῖς τούτοις ξενοτρόπως ὡς μὴ ἄ. γν. ἐθήλασα. κλῖνον στ., βουλομένη τῷ φιλτάτῳ μου υἱῷ περιπλ. κλ. στ., ἵνα τῷ ποθεινοτάτῳ μου υἱῷ ὡς μήτηρ συντάξωμαι (codex συντάξαι) καὶ καταφιλήσω. Praetereaque add Ποῦ τὸ κάλλος σου, υἱέ μου γλυκύτατε; ποῦ σου ἡ εὐπρέπεια, υἱέ μου παμφίλτατε; ὁ ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, οὐκ ἔχεις εἶδος οὐδὲ κάλλος, υἱέ μου γλυκύτατε, ὑπὸ χειρῶν ἀνόμων. λοιπὸν σὺν σοὶ θανοῦμαι. | Ταῦτα ἀκούοντες οἱ (C add μισόθεοι) Ἰουδ. πρ. ἐδ. καὶ (C om) αὐτὴν καὶ -- μακράν cum AC. Sed C add Τότε ἡ πάναγνος ἀλαλάξασα (cod. -λάξας) ἔλεγεν Οἴμοι οἴμοι, υἱέ μου, οὐδὲ καθ' (sic) ὄψιν ἀφιοῦμαι βλέπειν σε. οἴμοι οἴμοι, τί εἴπω εἰς τὴν μισοθείαν (sic) τῶν ἀμνήμων Ἰουδαίων; πάντες (sic) μητέρες, συγκλαύσατέ μοι μόνῃ, τῇ μόνῃ ἀγαπητῇ

5 Ἔπειτα ἐβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ λέγων Πάτερ, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· οὐ γὰρ οἴδασιν τί ποιοῦσιν. ἔπειτα λέγει Διψῶ. καὶ εὐθὺς ἔδραμεν εἷς ἀπὸ τῶν στρατιωτῶν καὶ λαβὼν σπόγγον καὶ πλήσας αὐτὸν χολῆς καὶ ὄξους μεμιγμένον καὶ θεὶς ἐπὶ καλάμου ἐπότιζε τὸν Ἰησοῦν. καὶ γευσάμενος οὐκ ἤθελε πιεῖν. οἱ δὲ Ἰουδαῖοι οἱ ἱστάμενοι καὶ βλέποντες κατεγέλων αὐτὸν καὶ ἔλεγον Ἐὰν ἀληθῶς ἔλεγες ὅτι υἱὸς εἶ τοῦ θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ, καὶ παρευθὺς ἵνα πιστεύσωμεν εἰς σέ. ἕτεροι ἔλεγον καταγελῶντες Ἄλλους ἔσωσεν, ἄλλους ἐθεράπευσεν, καὶ ἰάσατο ἀσθενεῖς, παραλελυμένους, λεπρούς, δαιμονιζομένους, τυφλούς, χωλούς, νενεκρωμένους, καὶ ἑαυτὸν οὐ δύναται θεραπεῦσαι.

6 Ὡσαύτως καὶ ὁ ἐν τῷ ἀριστερῷ αὐτοῦ μέρει ἐσταυρωμένος λῃστὴς πρὸς αὐτὸν ἔλεγεν Ἐὰν τοῦ θεοῦ υἱὸς εἶ, κατάβηθι καὶ σῶσον καὶ ἑαυτὸν καὶ ἡμᾶς. ὄνομα αὐτῷ ἦν Γίστας. ὁ δὲ ἐκ δεξιῶν ἐσταυρωμένος ὀνόματι Δυσμᾶς ὠνείδιζε τὸν αὐτὸν λῃστὴν λέγων Ταλαίπωρε καὶ ἄθλιε, οὐ φοβῇ τὸν θεόν; ἡμεῖς ἄξια ὧν ἐπράξαμεν ἐπάθομεν· οὗτος δὲ πάντως οὐδὲν κακὸν ἔπραξε. καὶ στραφεὶς πρὸς τὸν Ἰησοῦν λέγει αὐτῷ Κύριε, ὅταν βασιλεύ-

---

μητρὶ τοῦ υἱοῦ μου (pergit καὶ ἐμῆς μόνης υἱοῦ ἀγαπητοῦ). συνκλαύσατέ μοι, πάντες (sic) φυλαὶ καὶ γλῶσσαι. τὴν παρθενίαν ἐφύλαξα (codex φυλάξας), μὴ τύχω τὰς λύπας τῶν μητέρων· κἀγὼ δὲ ὑπερῆρα πάντας (sic) τὰς μητέρας κλαυθμοῖς τε καὶ ὀδυρμοῖς.

5. Ἔπειτα ἐβόησεν ὁ Ἰησ. (C Ὁ δὲ Ἰησ. ἐβό.) -- στήσῃς (C στήσεις) -- ποιοῦσιν (C add οἱ ἄθλιοι) -- εἷς ἀπὸ (C om) τῶν στρ. cum AC | καὶ λαβὼν σπόγγον -- οὐκ ἤθελε πιεῖν cum C; in A enim textus corruptus est in hunc modum: καὶ ἐγέμισεν ἀγγίον καὶ λαβὼν ὄξους (ἀγγεῖον ὄξους καὶ λαβών?) καὶ θεὶς (adde ἐπί?) καλάμου ἐπότιζεν αὐτόν. Reliqua καὶ γευσ. -- πιεῖν A non habet. | C κατεγέλουν | Ἐάν ex C est; A om | καὶ παρευθὺς -- εἰς σέ cum A .. C καὶ πιστεύσωμέν σοι | C om ἕτεροι ἔλεγ. καταγελ. | χωλούς ex C est .. A om

6. αὐτοῦ μέρει: C om αὐτοῦ | λῃστής: C add ἤγουν ὁ Γίστας, sed om πρ. αὐτ. ἔλεγεν | C κατάβηθι ἀπὸ τοῦ σταυροῦ καὶ σῶσον σεαυτὸν καὶ ἡμᾶς. Tum om ὄνομα -- Γίστας | C ὁ δὲ ἐκ δεξιῶν λῃστὴς ὁ Δυσμᾶς | C Ὦ ἄθλιε καὶ ταλαίπ., οὐ φοβεῖ τ. θ.; ἡμεῖς γὰρ ἄξια ὧν ἐπράξαμεν ἀπελάβομεν· οὗτος δὲ π. οὐδ. κ. ἐποίησεν οὔτε ἔπραξεν. Praeterea idem perperam addita habet haec: οὐκ οἶδας ἄθλιε τὸν ἥλιον σκοτισθέντα καὶ τὴν σελήνην ἐφ' ὅλην τὴν οἰκουμένην ἀπὸ ὥρας ἕκτης ἕως ὥρας ἐννάτης; τὸ καταπέτασμα τοῦ ναοῦ σχισθέντα (sic); | C om αὐτῷ | Κύριε, ὅταν -- ἀλήθειαν (post ἀλήθειαν in codice pergitur ὅτι ἐν τῇ βασιλείᾳ μου, ἵνα σε ἔγω etc, ex quibus priora ὅτι ἐν

στης, μή μου ἐπιλάθου. ὁ δὲ εἶπεν αὐτῷ Σήμερον, λέγω σοι ἀλήθειαν, ἵνα σε ἔχω εἰς τὸν παράδεισον μετ' ἐμοῦ.

## Caput XI.

1 Ἔπειτα ὁ Ἰησοῦς κράξας φωνῇ μεγάλῃ Πάτερ, εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου, ἀπέπνευσε. καὶ παραυτίκα ἦν ἰδεῖν τὰς πέτρας σχιζομένας· σεισμὸς γὰρ ἐγένετο εἰς τὴν γῆν ἅπασαν, καὶ τοῦ σεισμοῦ σφοδροῦ καὶ μεγάλου γεγονότος ἐσχίζοντο καὶ αἱ πέτραι. ἠνοίγοντο καὶ τὰ μνημεῖα τῶν νεκρῶν, καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη, καὶ σκότος

τ. β. μ. ex margine irrepsisse in textum videntur, nisi aliquid excidit) -- μετ' ἐμοῦ cum A .. C Μνήσθητί μου, κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. ὁ δὲ Ἰησοῦς εἰπ. αὐτῷ Ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. Iam sequitur in codice C narratio de Iesu infante cum parentibus in praedonem Dysmam incidente, tam ieiuna illa quidem tamque vitiose et corrupte scripta ut paucis eam excerpere quam totam exscribere praestet. Incipit his: οὗτος ὁ ληστὴς ὁ Δυσμᾶς εἰς τὴν γέννησιν Χριστοῦ, ὅ ἐστιν εἰς χρόνους λγ', ὅταν φωνὴ ἐξῆλθεν ὑπὸ ἀγγέλου τῷ Ἰωσὴφ ἵνα ἄρῃ τὸ βρέφος καὶ τὴν μητέρα αὐτοῦ etc. Pergitur de itinere Egyptiaco, in quo prope iam ad fines Egypti Maria cum Iosepho esuriens allocuta esse dicitur palmam (φοινικαίαν κάρπιμον καὶ πάνυ ὡραίαν) Κλῖνε δένδρον μου καλὸν καὶ χάρισόν μοι ἐκ τοῦ σοῦ ὡραιοτάτου καρποῦ. Additur καὶ εὐθὺς ἔκλινεν, καὶ ἐλάβασιν ἀπὸ τοῦ καρποῦ ὅσον ἤθελον. καὶ πάλιν ἵστατο τὸ δένδρον ὡς καὶ πρότερον. Iam vero incidunt in Dysmam praedonem (καὶ διερχόμενοι μικρὸν ἔμπροσθεν συνήντησαν τούτου τοῦ ληστοῦ τοῦ λεγομένου Δυσμᾶ). Iste pulchritudine Mariae tactus eam cum infante (ἐν ὠλέναις αὐτῆς) adorasse et exclamavisse dicitur Εἰ γὰρ μητέρα εἶχεν θεός, εἶχον ἂν εἰπεῖν ὅτι σὺ εἶ. Recipit autem sanctam familiam in domum suam, et exiens venatum vehementer commendat uxori suae. Huic est filius leprosus, semper plorans, qui aqua de lavacro Iesu ablutus extemplo sanatur. Quam rem Dysmas a venatione reversus maxime miratus Mariam omni modo veneratur et in itinere adiuvat. Nec minus resipiscens ipse adest redeunti ex Egypto, ita ut Maria ei benedicat et remunerationem officiorum ei factum iri promittat. Quam remunerationem revera locum habuisse, significatur his: διὰ τοῦτο ἠξιώθη καὶ ἐν τούτῳ διὰ τῆς χάριτος τοῦ ἐλεήμονος θεοῦ καὶ τῆς αὐτοῦ μητρός -- ἵνα μαρτυρήσει ἐν τῷ σταυρῷ ἅμα σὺν Χριστῷ. Narratio exit repetitis verbis latronis et Iesu de cruce pendentium.

XI, 1. Ἔπειτα -- ἀπέπνευσε cum A .. C Τότε ὁ Ἰησ. κρ. φ. μ. εἶπε Πάτερ, εἰς χεῖράς (A χεῖρά) σου π. τὸ πν. μ., καὶ μετὰ τοῦ λόγου ἀπέπν. | καὶ παραυτίκα -- ἕως ἐννάτης ἐγένετο cum A .. B (ab hoc enim loco rursus huius codicis textum Thilo attulit) C ἦν δὲ ὡσεὶ ὥρα ἕκτη, καὶ παραυτίκα σεισμὸς ἐγένετο μέγας εἰς τὴν γῆν ἅπασαν, ὥστε πᾶς ὁ κόσμος ἔφριξε, καὶ ἀπὸ τοῦ (B om) σφοδροῦ σεισμοῦ ἐσχίζοντο αἱ πέτραι. ἠνοίγοντο καὶ (C om) τὰ (C om) μνημεῖα τῶν νεκρῶν (C om τ. νεκρ.) καὶ πολλὰ σώματα τῶν δικαίων ἠγέρθησαν. καὶ (C om) ἐσκοτίσθη ὁ ἥλιος καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη μεσον, καὶ

ἀπὸ ἕκτης ὥρας ἕως ἐνάτης ἐγένετο. καὶ τούτων πάντων γινομένων φοβηθέντες οἱ μὲν Ἰουδαῖοι ἔλεγον ὅτι ὄντως ὁ ἄνθρωπος οὗτος δίκαιος ἦν. Λογγῖνος δὲ ὁ ἑκατόνταρχος ἱστάμενος εἶπεν Ἀληθῶς θεοῦ υἱὸς ἦν οὗτος· ἄλλοι ἐρχόμενοι καὶ ὁρῶντες αὐτὸν κατατύπτοντες τὰ στήθη ἀπὸ τοῦ φόβου αὖθις ἐστρέφοντο ὄπισθεν.

2 Ὁ δὲ ἑκατόνταρχος τὰ τοιαῦτα πάντα θαύματα κατανοήσας, ἀπελθὼν εἰς τὸν Πιλᾶτον διηγήσατο ταῦτα. ὁ δὲ ἀκούσας ἐθαύμασεν καὶ ἐξεπλάγη, καὶ ἀπὸ τοῦ φόβου αὐτοῦ καὶ τῆς λυπης τῇ ἡμέρᾳ ἐκείνῃ φαγεῖν ἢ πιεῖν οὐκ ἠθέλησε. διεμηνύσατο δέ, καὶ ἦλθεν πρὸς αὐτὸν ὅλον τὸ συνέδριον ἀφ' οὗ διέβη τὸ σκότος, καὶ εἶπεν πρὸς τὸν λαόν Εἴδετε πῶς ἐσκοτίσθη ὁ ἥλιος, εἴδετε πῶς ἐσχίσθη τὸ καταπέτασμα. ὄντως ἐγὼ καλῶς ποιῶν τὸν ἄνθρωπον τὸν καλὸν οὐδαμῶς φονεῦσαι προεθυμούμην. οἱ δὲ κακοῦργοι ἔλεγον πρὸς τὸν Πιλᾶτον ὅτι τοιοῦτον σκότος ἔκλειψις ἡλίου ἐστί, καθὼς ἐγένετο καὶ ἐν ἑτέροις καιροῖς. εἶτα λέγουσιν

σκότ. ἐγένετο ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐννάτης. | καὶ τούτων (BC add οὖν) π. γινομένων (BC γενομ.) οἱ μὲν Ἰουδ. (ita BC; A οἱ Ἰ. μὲν αὐτῶν) ἔλεγον -- ἦν. Λογγ. δὲ (BC om) ὁ ἑκ. ἱστάμ. (BC add μετὰ παρρησίας) εἶπεν -- ἦν οὗτος. (A h. l. addit ἕτεροι ἔλεγον τῷ Ἰούδᾳ Τί πρὸς ἡμᾶς; σὺ ὄψῃ.) ἄλλοι ἐρχ. -- κατατύπτοντες (ita BC; A τύπτ.) τὰ στ. (BC add αὐτῶν καὶ) ἀπὸ -- ὄπισθεν.

2. Ὁ δὲ ἑκατόνταρχος -- διηγήσ. ταῦτα cum ABC | ὁ δὲ ἀκούσας ἐθ. καὶ (A om) ἐξεπλ. -- ἠθέλησε cum AB .. C om | διεμηνύσατο -- πρὸς αὐτὸν (BC om) -- πρ. τ. λαόν (BC add ὁ Πιλᾶτος) cum ABC | Εἴδετε (h. l. codex εἴδετε, postea ἴδετε) πῶς ἐσκοτίσθη -- προεθυμούμην cum A .. BC Εἴδετε πῶς σεισμὸς καὶ σκότος ἐφ' ὅλην τὴν οἰκουμένην ἐγένετο καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη. ὄντως καλῶς ἐγὼ ἐποίουν, τὸν ἄνθρωπον οὐδαμ. φον. προεθυμούμην | οἱ δὲ κακοῦργοι -- τοιοῦτον (B τοιοῦτο) -- καιροῖς ex BC .. A haec in Iudam proditorem transfert, de quo plura addit quae hunc in locum parum quadrant. Habet enim ita: ὁ δὲ Ἰούδας ἐκεῖ παριστάμενος εἶπεν Ἔκλειψις ἡλίου ἐστί, καθὼς ἐγένετο καὶ ἐν ἑτέροις καιροῖς. ἀλλ' ὅμως ὁ λαὸς ὅλος αὐτὸν καὶ μόνον κατηγόρουν καὶ ὕβριζον καὶ ἐπάνω αὐτοῦ τὴν αἰτίαν ἐτίθεσαν τῆς σταυρώσεως, καὶ κατεβόων αὐτοῦ πάντες Ὁ προδότης, λέγοντες, ὁ παράνομος, ὁ ἄπιστος, ὁ ἀχάριστος, ὁ τὸν διδάσκαλον αὐτοῦ φονεύσας, ὁ παρ' αὐτοῦ τὰς πόδας νιπτόμενος, ὁ τὸ βαλάντιον αὐτοῦ κατέχων καὶ ὅσα θέλων διδοὺς ἐξ αὐτοῦ καὶ ὅσα θέλων ἀποκοπτόμενος. ἐφ' οἷς οὗτος ἀγανακτῶν καὶ μὴ δυνάμενος τοὺς ὀνειδισμοὺς ὑπομένειν ταῖς ἀκοαῖς, παραγενόμενος ἐν τῷ ναῷ καὶ εὑρὼν τοὺς ἀρχιερεῖς καὶ τοὺς γραμματεῖς εἶπεν Γινώσκω ἀληθῶς ὅτι κακῶς ἐποίησα· καὶ λάβετε τὰ ἀργύρια ἅ μοι δεδώκατε διὰ τὸ προδοῦναι τὸν Ἰησοῦν πρὸς φόνον ὑμῖν. μὴ θελόντων δὲ τῶν Ἰουδαίων δέξασθαι τὰ ἀργύρια, ῥίψας ταῦτα μέσον αὐτῶν ἔφυγε, καὶ ἀπελθὼν ἐποίησεν ἀγχόνην διὰ σχοινίου καὶ ἐκρεμάσθη, καὶ

αὐτῷ Ἡμεῖς ἔχομεν τὴν ἑορτὴν τῶν ἀζύμων διὰ τῆς αὔριον ἡμέρας, καὶ παρακαλοῦμέν σε, ἐπεὶ ἔτι πνέουσιν οἱ ἐσταυρωμένοι, ἵνα καταθλασθῶσι τὰ ὀστᾶ αὐτῶν καὶ καταβιβασθῶσιν. εἶπεν ὁ Πιλᾶτος Τοῦτο γενήσεται. ἀπέστειλεν οὖν στρατιώτας καὶ εὗρον ἔτι πνέοντας τοὺς δύο λῃστάς, καὶ συνέθλασαν αὐτῶν τὰ σκέλη· τὸν δὲ Ἰησοῦν εὑρόντες τεθνηκότα οὐδαμῶς αὐτοῦ ἥψαντο, εἰ μὴ εἷς στρατιώτης ἐλόγχευσεν αὐτὸν ἐν τῇ δεξιᾷ πλευρᾷ, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ.

3 Πρὸς ἑσπέραν δὲ τῆς παρασκευῆς καταντώσης Ἰωσήφ τις ἀνὴρ εὐγενὴς καὶ πλούσιος, θεοσεβὴς Ἰουδαῖος, εὑρὼν τὸν

---

οὕτως ἀπήγξατο. Conferenda sunt haec cum tribus prioribus sectionibus capitis primi in codice C, quemadmodum supra pag. 268 sq. exscripsimus. Iam vero sequitur Iudaeorum et Pilati de titulo crucis disputatio, conferenda cum iis quae supra ad X, 3. ex codice C attulimus. Legitur in codice A sic: Οἱ δὲ Ἰουδαῖοι προσελθόντες εἶπον τῷ Πιλάτῳ Οὐ καλῶς ἐγράφησαν, κύριε ἡμῶν, τὰ γράμματα ἄνωθεν τῆς κεφαλῆς τοῦ Ἰησοῦ· μαρτυροῦσι γὰρ αὐτὸν βασιλέα ἡμῶν. διὰ τοῦτο δεόμεθά σου ἵνα ὁρίσῃς καὶ γράψῃς ἐκεῖσε ὅτι οὗτος εἶπεν ὅτι ἐστὶ βασιλεὺς τῶν Ἰουδαίων. ἔφη ὁ Πιλᾶτος Ὃ ἔγραψα, ἔγραψα. Tandem pergitur iis quae in textum recepimus, εἶτα λέγουσιν αὐτῷ etc. His rursus codices BC haec praemissa habent: καὶ ὁ Πιλᾶτος λέγει αὐτοῖς (uterque codex αὐτῶν) Καὶ τὰ ἕτερα καὶ ἐξαίσια θαύματα τί λέγετε εἶναι; καὶ οὐκ εἶχόν τι ἀπολογηθῆναι. Pergunt autem καὶ ταῦτα λέγων οὗτος, προσελθόντες λέγουσιν Ἡμεῖς ἔχομεν etc. | διὰ τῆς αὔρ. ἡμ. cum BC .. A διὰ τὴν αὔριον | ἵνα h. l. cum BC .. A ante ἐπεὶ ἔτι | καταθλασθῶσιν τὰ ὀστᾶ cum A .. BC κατακλασθῶσι τὰ σκέλη | τοὺς λῃστάς cum BC .. A τ. δύο λ. | εἰ μὴ εἷς στρατ. ἐλόγχ. αὐτόν cum A .. BC τότε ἀπελθὼν εἷς στρατ. καὶ ἐλόγχευσε τὸν Ἰησοῦν | BC ἐν τῇ δεξ. αὐτοῦ πλ.

Post αἷμα καὶ ὕδωρ codd. BC plura addita habent de prophetarum circa res Christi ultimas vaticiniis. Ea in C sic leguntur: καὶ ἐπληρώθησαν οἱ λόγοι τῶν προφητῶν. Ἱερεμίας εἶπεν Δεῦτε καὶ ἐμβάλωμεν (codex ἐμβάλλομεν) ξύλον εἰς τὸν ἄρτον τοῦτον, καὶ ἐκτρίψομεν αὐτὸν ἀπὸ γῆς ζώντων, καὶ τὸ ὄνομα αὐτοῦ ἀπὸ γῆς ζώντων (sic) οὐ μὴ μνησθῇ ἔτι, κύριε τῶν δυνάμεων, κρίνων δίκαια. Ζαχαρίας ἔφη Καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργυρίοις. Ἡσαΐας εἶπεν Τὸν νῶτόν μου ἔδωκαν εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα· τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων, καὶ κύριος ἐγενήθη βοηθός μου. καὶ πάλιν ὁ αὐτὸς εἶπεν Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἄκακος ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ. καὶ λοιπὸν ἐπληρώθησαν νῦν οἱ λόγοι τῶν προφητῶν, καθὼς προείπομεν.

3. Post καταντώσης C add haec: εἰς ἀπείρους λογισμοὺς ἐλθὼν (sic) ἡ θεοτόκος, διαβουλευομένους τοὺς Ἰουδαίους (sic. Potius scribe -μένων τῶν -αίων) ἀφεῖναι ἄταφον τὸ σῶμα τοῦ Ἰησοῦ, καὶ τὸ ἀφεῖναι μόνον τὸ σῶμα ὀδύρετο καὶ πρὸς τὸν Πιλᾶτον ἀπελθεῖν οὐκ ἐπαρρησιάζετο. καὶ στέλλει πρὸς Ἰωσὴφ τὸν Ἰωάννην. ἐλθὼν δὲ Ἰωσὴφ πρὸς τὴν θεοτόκον λέγει πρὸς αὐτὸν Ἰωσήφ, παρακαλῶ

Νικόδημον, ὃν προφθάσας ὁ λόγος ἐδήλωσε, λέγει αὐτῷ Οἶδα ὅτι ζῶντα τὸν Ἰησοῦν ἠγάπας καὶ τοὺς λόγους αὐτοῦ ἡδέως ἤκουες, καὶ πρὸς τοὺς Ἰουδαίους εἶδόν σε μαχόμενον ὑπὲρ αὐτοῦ. εἰ δοκεῖ σοι οὖν, πορευθῶμεν πρὸς τὸν Πιλᾶτον καὶ αἰτησώμεθα τὸ σῶμα τοῦ Ἰησοῦ πρὸς ταφήν, ὅτι μεγάλη ἁμαρτία κεῖσθαι αὐτὸν ἄταφον. Δέδοικα, λέγει ὁ Νικόδημος, μή πως ὀργισθέντος τοῦ Πιλάτου πάθω τι κακόν. εἰ δὲ σὺ μόνος ἀπελθὼν καὶ αἰτήσας λάβῃς τὸν τεθνηκότα, τότε κἀγὼ συνοδεύσω σοι καὶ τὰ πρὸς κηδείαν ἐπιτήδεια πάντα συνδιαπράξομαι. ταῦτα εἰπόντος τοῦ Νικοδήμου ὁ Ἰωσὴφ εἰς τὸν οὐρανὸν ἀτενίσας τοὺς ὀφθαλμοὺς καὶ εὐξάμενος τῆς αἰτήσεως μὴ διαμαρτῆσαι, ἀπῆλθεν πρὸς τὸν Πιλᾶτον, καὶ προσαγορεύσας ἐκαθέσθη. εἶτά φησι πρὸς αὐτόν Δέομαί σου, κύριέ μου, εἴ τι παρὰ τὸ δοκοῦν τῇ μεγαλειότητί σου αἰτήσομαι, μὴ ὀργισθῆναί μοι. ὁ δὲ ἔφη Καὶ τί ἐστιν ὃ αἰτεῖς; λέγει Ἰωσὴφ Ἰησοῦν τὸν καλὸν ἄνθρωπον, ὃν ὑπὸ φθόνου οἱ Ἰουδαῖοι κατήνεγκαν εἰς τὸ σταυρῶσαι, τοῦτον παρακαλῶ ἵνα μοι δῷς πρὸς ταφήν. λέγει ὁ Πιλᾶτος Καὶ τί

---

σε, παρηγόρησον τὴν λύπην μου, ὅτι εἶδα (οἶδ.?) τὴν ἀληθινὴν ἀγάπην σου πρὸς τὸν γλυκύτατον υἱόν μου, καὶ ποίησόν μοι δύο αἰτήματα. ἄπελθε πρὸς Πιλᾶτον αἰτῆσαι τὸ σῶμα τοῦ ἀγαπητοῦ μου υἱοῦ ἵνα θάψω, καὶ δώρησαί μοι καὶ τὸ μνημεῖον ὃ ἔχεις λελατομημένον καινὸν ἐν τῷ κήπῳ. ὁ δὲ Ἰωσὴφ πλησθεὶς δακρύων τε (sic) σφοδρῶν λέγει Κυρία μου, γενηθήτω τὸ θέλημά σου, ὡς θέλεις. Iam pergit οὗτος ὁ Ἰωσὴφ ἀνὴρ εὐγενής τε καὶ πλούσιος καὶ θεοσεβὴς Ἰουδαῖος, εὑρὼν καὶ τὸν Νικόδημον, ὃν προφθάσας ὁ λόγος ἐδήλωσε, λέγει αὐτῷ Οἶδα ὅτι τὸν Ἰησοῦν ἠγάπας λίαν καὶ τοὺς λόγ. αὐτοῦ (αὐτοῦ in A deest) -- μεγάλη (A add ἐστὶ) ἁμαρτία -- ἄταφον. | ὁ Νικόδημος: C om ὁ | ἐπιτήδεια cum A .. C ἐπιτάφια | C ἀτενίσας εἰς τ. οὐρ. τὸ ὄμμα | C καὶ αἰτησάμενος μὴ διαμαρτ. τῆς αἰτήσεως | πρὸς αὐτόν: C add μετὰ δακρύων | κύριέ μου: C om μου | εἴ τι: A om τι | C τῇ σῇ μεγαλειότητι | Καὶ τί: C om Καί | λέγει Ἰωσήφ Ἰησ. τ. καλ. (cod. add τὸν) ἄνθρ. -- κατήνεγκαν εἰς τὸ (ita C; A κατηνέγκασάν σε) σταυρῶσαι cum A .. C λέγ. Ἰωσ. Ἰησ. τὸν ξένον καὶ καλὸν ἄνθρωπον, ὃν -- σταυρῶσαι | τοῦτον παρακαλῶ -- πρ. ταφήν cum A .. C haec mirum in modum exaggerat: Δός μοι τοῦτον τὸν ξένον, ἵνα τὸν ξένον τοῦτον κηδεύσω. δός μοι τοῦτον τὸν ξένον ἵνα τὸν ἐκ ξένης χώρας ὄντα κηδεύσω τὸν ξένον· ὅπου τὴν κεφαλὴν κλίνει, οὐκ ἔχει ὁ ξένος. δός μοι τοῦτον τὸν ξένον, ὅπου ὁ Ἰούδας· ὁ Ἰσκαριώτης τοῦτον ἐπαρέδωκεν τοῖς Ἰουδαίοις ἀδίκως ὡς ξένον. δός μοι τοῦτον τὸν ξένον etc. Decies repetito isto Δός μοι cum variis additamentis (quinto loco ὅτι ἀδελφοὺς οὐκ ἔχει ὡς ξένος, sexto ὅπου καὶ οἱ μαθηταὶ αὐτοῦ ἔφυγον, καὶ οὐκ ἦν τις κηδεῦσαι τοῦτον τὸν ξένον, octavo ὅπου Ἰουδαῖοι αὐτὸν κατεμαστίγωσαν ὡς ἐξ ἀλλοδαπῆς χώρας ξένης ὄντα ξένον, decimo δός μοι τὸ σῶμα τοῦ τεθνηκότος ἵνα τοῦτο καταφιλήσω ἐν τῇ ἀποχωρήσει μας [sic, neo-

γέγονεν ὅτι μαρτυρηθέντα τοῦτον ὑπὸ τῆς γενεᾶς αὐτοῦ ἐπὶ μαγείαις καὶ ἐν ὑποψίᾳ ὄντα λαβεῖν τὴν βασιλείαν τοῦ Καίσαρος καὶ οὕτω παρ' ἡμῶν εἰς θάνατον ἐκδοθέντα, τιμᾶσθαι αὖθις τοῦτον νεκρὸν ἐπιτρέψωμεν; ὁ δὲ Ἰωσὴφ περίλυπος γενόμενος καὶ δακρύσας τοῖς ποσὶ προσέπεσε τοῦ Πιλάτου Μή σοι, λέγων, κύριέ μου, ἐπὶ νεκρῷ φθόνος τις ἐπιγένηται. πᾶσα γὰρ κακία ἐν τῇ τελευτῇ δεῖ συναπόλλυσθαι τοῦ ἀνθρώπου. ἐγὼ δὲ οἶδα τὴν μεγαλειότητά σου, πόσα ἐσπούδασας ὥστε μὴ σταυρῶσαι τὸν Ἰησοῦν, καὶ πόσα πρὸς τοὺς Ἰουδαίους ὑπὲρ αὐτοῦ εἶπας, τὰ μὲν παραινῶν, τὰ δὲ καὶ θυμούμενος, καὶ ὕστερον πῶς τὰς χεῖρας ἀπένιψας καὶ μηδαμῶς ἔχειν μέρος ἀπεφήνω μετὰ τῶν θελόντων ἀποκτανθῆναι αὐτόν. ἐφ' οἷς ἅπασι δέομαί σου μὴ ἀποστραφῆναι τὴν αἴτησίν μου. οὕτω τοίνυν ἐπικείμενον ἰδὼν ὁ Πιλᾶτος τὸν Ἰωσὴφ καὶ ἱκετεύοντα καὶ δακρύοντα, ἤγειρεν αὐτὸν λέγων Ἄπιθι· χαρίζομαί σοι τὸν τοιοῦτον νεκρόν, καὶ τοῦτον λαβὼν πράττε ὅσα σὺ βούλῃ.

4 Καὶ τότε ὁ Ἰωσὴφ εὐχαριστήσας τῷ Πιλάτῳ καὶ καταφιλήσας αὐτοῦ τὰς χεῖρας καὶ τὰ ἱμάτια, ἐξῆλθεν τῇ καρδίᾳ μὲν χαίρων ὡς τοῦ ποθουμένου τυχών, τοὺς ὀφθαλμοὺς δὲ φέρων ἔτι δακρύοντας· οὕτω καὶ τὴν χαρὰν εἶχε λελυπημένος. ἄπεισιν οὖν πρὸς τὸν Νικόδημον καὶ τὰ γενόμενα πάντα διασαφεῖ. εἶτα σμύρνην καὶ ἀλόην ἑκατὸν λίτρας καὶ μνημεῖον καινὸν ἐξωνησά-

---

graece]), bis sequitur similiter Δώρησαί μοι. Iste locus omnino conferendus est cum Epiphanii oratione in sepulchrum Christi pag. 264. (ed. Colon. 1682.) Denique est Δέομαι τῇ μεγαλειότητί (sic) σου μὴ παρακούσῃς τῆς αἰτήσεώς μου. ταῦτα ἔλεγεν Ἰωσὴφ τεχνιέντως πρὸς Πιλᾶτον ἵνα λάβῃ τὸ σῶμα τοῦ Ἰησοῦ, τῇ (codex ἡ δὲ τῇ) ἀγχονίᾳ τῆς ψυχῆς μεγάλα ἐγκωμιάσας τὸν Ἰησοῦν μυστικῶς. | λέγει ὁ Πιλᾶτος (C ὁ δὲ Πιλ. λέγει) Καὶ τί -- ἐν (C om) ὑποψίᾳ ὄντα (C add ἤθελον. Corrige θέλειν?) λαβεῖν -- τοῦτον (C add τὸν) νεκρὸν ἐπιτρέψωμεν (ita C; A -ψομεν) | ὁ δὲ Ἰωσὴφ -- ὥστε μὴ σταυρῶσαι (C ἵνα μὴ σταυρωθῆναι) -- ἀποκτανθῆναι (C ἀποκτεῖναι) -- τ. αἴτησίν μου (C add ἀλλ' οἰκετῶς [corrige ἱκέτης] σοι προσπίπτω). οὕτω τοίνυν -- καὶ τοῦτ. λαβ. (haec C om) πράττε (C πρᾶττε [hoc accentu] εἰς αὐτὸν) ὅσα σὺ βούλῃ (C σοι βουλητά.)

4. C sic: Τότε Ἰωσὴφ εὐχαριστήσας -- ἐξῆλθε χαίρων τῇ καρδίᾳ ὡς τὸν ποθούμενον τυχών, τοὺς ὀφθ. δὲ -- χαρὰν [omisso εἶχε] ἔτι λελυπημένος καὶ τὴν λύπην χαίρων καὶ ἀγαλλιώμενος. ἄπεισιν οὖν -- διασαφεῖ. | εἶτα σμύρνην -- ἐξωνησάμενοι (codex -μενος) -- κατέθεντο cum A.. C διότι δὲ κἀκεῖνος εὐσεβὴς καὶ ἠγάπα τὸν Ἰησοῦν, καὶ εἶπε τούτῳ πάντα τὰ τοῦ Πιλάτου. ἐξωνησάμενοι δὲ σμύρνην -- λίτρας καὶ μνημεῖον καινόν, ἐν σ. λ. ἐκαθεῖλαν τὸ

μενοι, ἐν σινδόνι λευκῇ ἅμα τῇ θεοτόκῳ καὶ τῇ Μαγδαληνῇ Μαρίᾳ καὶ τῇ Σαλώμῃ σὺν τῷ Ἰωάννῃ καὶ ταῖς λοιπαῖς γυναιξὶ τοῦτον κηδεύσαντες ὡς ἔθος ἐν τῷ τάφῳ κατέθεντο.

5 Ἡ δὲ θεοτόκος ἔλεγε κλαίουσα Πῶς οὐ μή σε θρηνήσω, υἱέ μου· πῶς τὸ ἐμὸν πρόσωπον οὐ σπαράξω τοῖς ὄνυξιν. τοῦτο ἐκεῖνό ἐστιν, υἱέ μου, ὅπερ Συμεὼν ὁ πρεσβύτης προεῖπέ μοι, ὅτε τεσσαρακονθήμερον βρέφος προσήγαγόν σε ἐν τῷ ναῷ. αὕτη ἐστὶν ἡ ῥομφαία ἥτις νῦν κατὰ τὴν ψυχήν μου διέρχεται. τίς τὰ ἐμὰ δάκρυα, γλυκύτατέ μου υἱέ, καταπαύσει; πάντως οὐδεὶς εἰ μὴ σὺ μόνος, ἐὰν καθὼς εἶπας ἀναστήσῃ τριήμερος.

Ἡ Μαγδαληνὴ Μαρία ἔλεγε κλαίουσα Ἀκούσατε, λαοὶ φυλαὶ καὶ γλῶσσαι, καὶ μάθετε ποίῳ θανάτῳ οἱ παράνομοι Ἰουδαῖοι τὸν μυρία καλὰ πρὸς αὐτοὺς πεποιηκότα παραδεδώκασιν. ἀκούσατε καὶ θαυμάσατε. τίς ἀκουστὰ ποιήσει ταῦτα πρὸς ἅπαντα κόσμον; ἐγὼ ἐν Ῥώμῃ μόνη πρὸς τὸν Καίσαρα ἀπελεύσομαι· ἐγὼ τούτῳ δηλώσω ὅσον κακὸν ὁ Πιλᾶτος τοῖς παρανόμοις Ἰουδαίοις πειθόμενος πέπραχεν. Ὡσαύτως καὶ Ἰωσὴφ ὠδύρετο λέγων Οἴμοι, γλυκύτατε Ἰησοῦ, ἐξ ἀνθρώπων φίλε ἐξαισιώτατε· εἰ χρὴ μὲν καὶ ἄνθρωπον ὀνομάζειν σε, τὸν οἷα οὐδέποτε πεποίηκεν ἄνθρωπος θαύματα ἐργασάμενον. πῶς σε κηδεύσω, πῶς σε ἐνταφιάσω. νῦν ἔδει μὲν συμπαρεῖναι οὓς ἐν ὀλίγοις ἄρτοις ἐξέθρεψας· οὕτω γὰρ οὐκ ἂν ἔδοξα τῆς ἀξίας ἀπολειπόμενος.

---

σῶμα ἅμα σὺν τῇ θεοτόκῳ -- ἅμα καὶ τῇ Σαλώμῃ -- ἐν τάφῳ καινῷ κατέθεντο.

5. Ἡ δὲ (C add πάναγνος) θεοτ. ἔλεγ. κλαίουσα (C θρηνωδοῦσα ἔλεγ.) cum AC | Πῶς οὐ (C om) μή σε θρ. υἱ. μ. (C add ποθητέ) -- τοῖς ὄνυξιν cum AC. Sed C his plura praem, de quibus pauca excerpere satis erit. Ea incipiunt Πῶς σε κλαύσω, γλυκύτατε υἱέ μου, θεωρῶν (sic) σε ἀδίκως θνήσκοντα. πῶς θεωρῶ σε, φίλτατόν μέλος μου. πῶς ζήσω χωρὶς σοῦ etc. Extrema sunt εὐχαριστῶ, υἱέ μου, τῷ ἡλίῳ (cod. τοῦ ἡλίου) σου ὅτι ἀπημαυρώθη, καὶ τῇ γῇ (cod. τῆς γῆς) ὅτι ἐσχίσθη καὶ ἐφοβήθη, καὶ ταῖς πέτραις (cod. αἱ πέτραι) διότι ἐφράγησαν ἰδὼν (sic) τὴν ἀνομίαν τῶν ἀμνήμων Ἰουδαίων. | τοῦτο ἐκεῖνο -- προσήγαγόν σε ἐν τῷ (ita C; A ἤγαγον τῷ) ναῷ -- ἀναστήσῃ (C -στήσει) τριήμερος cum AC.

ἔλεγε κλαίουσα cum A .. C κλαίουσα καὶ τριχώμενος σὺν δάκρυσιν ἔλεγε | Ἀκούσατε, λαοὶ -- πέπραχεν: in his AC plerumque consentiunt | Ὡσαύτως καὶ Ἰωσήφ etc ex AC, nisi quod C pleraque exaggerat. Ita idem post ἀπολειπόμενος add οὕτω δὲ καὶ Ἰωάννης καὶ αἱ γυναῖκες ὀδύροντο. τότε καὶ Νικόδη-

Εἶτα ὁ μὲν Ἰωσὴφ μετὰ τοῦ Νικοδήμου ἐπορεύθησαν εἰς τὰ ἴδια. ὁμοίως δὲ καὶ ἡ θεοτόκος μετὰ τῶν γυναικῶν, συμπαρόντος καὶ τοῦ Ἰωάννου αὐταῖς.

## CAPUT XII.

[1] Ταῦτα γνωρίσαντες οἱ Ἰουδαῖοι πραχθέντα παρά τε Ἰωσὴφ καὶ τοῦ Νικοδήμου ἐταράχθησαν κατ' αὐτῶν μεγάλως, καὶ διαμηνυσάμενοι τῷ Ἰωσὴφ οἱ ἀρχιερεῖς Ἄννας καὶ Καϊάφας εἶπον αὐτῷ Διὰ τί ἐποίησας τὴν κηδείαν ταύτην τῷ Ἰησοῦ; λέγει Ἰωσήφ Ἐγὼ οἶδα τὸν Ἰησοῦν ἄνδρα δίκαιον καὶ ἀληθινὸν καὶ ἀγαθὸν κατὰ πάντα, καὶ οἶδα καὶ ὑμᾶς ὅτι διὰ φθόνον ᾠκονομήσατε τὸν φόνον αὐτοῦ· καὶ ἐν τούτῳ ἐκήδευσα αὐτόν. τότε ὀργισθέντες οἱ ἀρχιερεῖς καὶ κρατήσαντες τὸν Ἰωσὴφ ἔβαλον αὐτὸν ἐν τῇ φυλακῇ, καὶ λέγουσιν αὐτῷ Εἰ μὴ αὔριον εἴχομεν τὴν ἑορτὴν τῶν ἀζύμων, αὔριον καὶ σὲ ὡς ἐκεῖνον ἐφονεύσαμεν ἄν· τὸ δὲ νῦν ἔχον τηρούμενος, τῇ κυριακῇ πρωὶ θανάτῳ παραδοθήσῃ. εἶπον ταῦτα, καὶ τὴν εἱρκτὴν τῇ σφραγῖδι ἐσημειώσαντο, κλείθροις οὖσαν παντοίοις ἠσφαλισμένην.

[2] Οὕτω τοίνυν τῆς παρασκευῆς τελεσθείσης, τῷ σαββάτῳ πρωὶ ἀπῆλθον οἱ Ἰουδαῖοι πρὸς τὸν Πιλᾶτον καὶ εἶπον αὐτῷ Κύριε, ὁ πλάνος ἐκεῖνος εἶπεν ὅτι μετὰ τρεῖς ἡμέρας ἀναστήσεται. μή πως οὖν οἱ μαθηταὶ αὐτοῦ νυκτὸς κλέψωσιν αὐτὸν καὶ πλανήσουσι τὸν λαὸν ἐπὶ τῷ τοιούτῳ ψεύδει, κέλευσον τηρεῖσθαι τὸν τάφον αὐτοῦ. ὁ Πιλᾶτος οὖν ἐπὶ τούτῳ παρέδωκεν αὐτοῖς στρα-

μος καὶ Ἰωσὴφ μετὰ Ἰωάννου (cod. -ννην) καὶ τῶν λοιπῶν γυναικῶν ἐνταφίασαν τὸν Ἰησοῦν.

XII, 1. Ταῦτα γνωρίσαντες -- εἶπον αὐτῷ cum ABC | Διὰ τί ἐποίησ. cum BC .. A Διὰ τί ἵνα ποιήσῃς· | ταύτην τῷ Ἰησοῦ cum C .. AB τοιαύτην ἐπὶ τῷ νεκρῷ τοῦ Ἰησοῦ | καὶ ἀληθινόν: BC om καί | καὶ ὑμᾶς: BC om καί | B ἀπὸ φθόνου | C οἰκονομήσατε | BC male om εἴχομεν τ. ἑ. τ. ἀζ., αὔριον | BC τηρούμενος (B -νον)· τῇ δὲ κυριακῇ

2. Κύριε, ὁ πλάνος ἐκεῖνος εἶπεν ὅτι cum A .. C (item B ut videtur) Κύριε ἐξουσιάρχα, τί γὰρ ἐποίησας; διὰ τί τὸν Ἰησοῦν ἐδίδως ἐνταφιάσαι; ἡμεῖς ἐβουλόμεθα κρέμασθαι ἐπὶ ξύλου ἵνα ὑπὸ ὀρνέων βρωθῇ· σὺ δὲ ἐδωρήσω τῷ Ἰωσὴφ ἐνταφιάσαι, ἵνα κλέψωσιν αὐτὸν καὶ εἴπωσιν ὅτι ἀνέστη ἐκ νεκρῶν· καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης. ὁ δὲ Πιλᾶτος ἔφη Ὢ τῆς ἀνοίας τοῦ φθόνου ὑμῶν. οἱ δὲ πάλιν λέγουσι Κύριε, ἐμνήσθημεν ὅτι ἐκεῖνος ὁ πλάνος ἔτι ζῶν εἶπεν ὅτι | μή πως οὖν: BC om οὖν | πλανήσουσι cum C .. A -σωσι | τῷ τοιούτῳ: A om τῷ | κέλευσον: C add δεόμεθά σου | C Πιλᾶτος οὖν ἐπὶ

τιώτας πεντακοσίους, οἳ καὶ ἐκάθισαν περὶ τὸν τάφον ὥστε τηρεῖν αὐτόν, θέμενοι καὶ σφραγῖδας ἐπὶ τὸν λίθον τοῦ μνήματος.

[3] Τῆς κυριακῆς οὖν διαφωσκούσης συμβούλιον οἱ ἀρχιερεῖς μετὰ τῶν Ἰουδαίων ποιήσαντες, ἀπέστειλαν ἐκβαλεῖν τὸν Ἰωσὴφ ἀπὸ τῆς φυλακῆς ἐπὶ τῷ θανατῶσαι αὐτόν· ἀνοίξαντες δὲ οὐχ εὗρον αὐτόν. καὶ ἐξενίζοντο ἐπὶ τούτῳ, πῶς τῶν θυρῶν κεκλεισμένων καὶ σώων τῶν κλειδῶν καὶ τῶν σφραγίδων εὑρεθεισῶν ὁ Ἰωσὴφ ἐγένετο ἄφαντος.

## Caput XIII.

[1] Ἐπὶ τούτῳ δὲ παραγενόμενος εἷς στρατιώτης ἐκ τῶν τηρούντων τὸν τάφον εἶπεν ἐν τῇ συναγωγῇ Μάθετε ὅτι ἀνέστη ὁ Ἰησοῦς. λέγουσιν οἱ Ἰουδαῖοι Πῶς; ὁ δὲ ἔφη Σεισμὸς ἐγένετο πρῶτον· εἶτα ἄγγελος κυρίου ἀστραπηφόρος ἐλθὼν ἐξ οὐρανοῦ ἐκύλισε τὸν λίθον ἐκ τοῦ μνημείου καὶ ἐκάθισεν ἐπάνω αὐτοῦ. καὶ ἀπὸ τοῦ φόβου αὐτοῦ ἐγενόμεθα πάντες οἱ στρατιῶται ὡς νεκροί, καὶ οὔτε φυγεῖν ἐδυνάμεθα οὔτε λαλῆσαι. ἠκούσαμεν δὲ τοῦ ἀγγέλου λέγοντος πρὸς τὰς γυναῖκας τὰς ἐλθούσας ἐκεῖσε τὸν τάφον ἰδεῖν ὅτι μὴ φοβεῖσθε ὑμεῖς· οἶδα γὰρ ὅτι Ἰησοῦν ζητεῖτε. οὐκ ἔστιν ὧδε, ἀλλὰ ἀνέστη, καθὼς προεῖπεν ὑμῖν. κύψατε καὶ ἴδατε τὸν τάφον ὅπου ἔκειτο τὸ σῶμα αὐτοῦ. πορεύ-

---

τούτῳ ἔδωκεν αὐτοῖς ἐξουσίαν τοῦ σφραγίσαι αὐτοὶ τὸν λίθον τοῦ μνήματος ὡς βούλονται. καὶ λαβόντες κουστωδίαν ἦγουν στρατιώτας πεντακοσίους, οἳ καὶ ἐκαθ. ἐπὶ τὸν τάφον -- τοῦ μνήματος. Iamvero C add haec: ἐφύλαττον αὐτὸν τῷ σαββάτῳ (cod. τῶ σάββατον) ἕως ὄρθρου βαθέως τῆς κυριακῆς. μετὰ τοῦτο σεισμὸς πάλιν ἐγένετο μέγας πρῶτον. εἶτα ἄγγελος κυρίου ἀστραπηφόρος ἐλθὼν ἐξ οὐρανοῦ ἐκύλισε τὸν λίθον ἐκ τοῦ μνήματος καὶ ἐκάθισεν ἐπάνω αὐτοῦ. ἀπὸ δὲ τοῦ ἀγγέλου ἀπενεκρώθησαν οἱ στρατιῶται. τότε ἀνέστη ὁ κύριος· ἤγειρε τὸν Ἀδὰμ καὶ πάντας τοὺς προφήτας, οὓς εἶχεν ὁ διάβολος ἐν τῇ χειρὶ αὐτοῦ· ἤγειρε δὲ κἀκεῖ πάντας τοὺς πιστεύοντας εἰς αὐτόν. εἴη τὸ ὄνομα κυρίου εὐλογημένον σὺν τῷ πατρὶ αὐτοῦ καὶ τῷ παναγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Atque his ipsis textus evangelii in codice C finitur. Eadem habere dicitur codex B, addita subscriptione hac: Τέλος τῶν ἁγίων παθῶν καὶ ἀρχὴ τῆς ἀναστάσεως αὐτοῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Tamen is similiter atque codex A pergit Τῆς κυριακῆς οὖν διαφωσκούσης etc, quae infra vide.

3. συμβούλιον -- ποιήσαντες, ἀπέστειλαν etc cum A .. B συμβουλὴν ἐποίησαν οἱ ἀρχ. μ. τ. Ἰουδ. καὶ ἀπέστειλαν etc | B ἐκ τῆς φυλακῆς | ὁ Ἰωσὴφ ἐγένετο cum A .. B Ἰωσὴφ δὲ ἐγέν.

XIII, 1. Ἐπὶ τούτῳ (A τοῦτο) -- ἐκ (B om) τοῦ μνημείου -- ὡς (B ὡσεὶ) νεκροί -- ἀλλὰ (B ἀλλ') ἀνέστη -- ἴδατε (B ἴδετε) -- τὸ σῶμα αὐτοῦ

θητε δὲ καὶ εἴπατε τοῖς μαθηταῖς αὐτοῦ ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν· καὶ πορευέσθωσαν ἐν τῇ Γαλιλαίᾳ, ἐκεῖ γὰρ αὐτὸν εὑρήσουσι. διὰ τοῦτο λέγω πρὸς ὑμᾶς ἐγὼ τοῦτο πρότερον.

2 Λέγουσιν οἱ Ἰουδαῖοι πρὸς τοὺς στρατιώτας Ποῖαι ἦσαν αἱ γυναῖκες αἱ ἐλθοῦσαι εἰς τὸ μνῆμα, καὶ διὰ τί οὐκ ἐκρατήσατε αὐτάς; λέγουσιν οἱ στρατιῶται Ἐκ τοῦ φόβου καὶ τῆς θεωρίας μόνης τοῦ ἀγγέλου οὔτε λαλεῖν οὔτε σαλεύειν ἐδυνάμεθα. εἶπον οἱ Ἰουδαῖοι Ζῇ ὁ θεὸς τοῦ Ἰσραήλ, ὅτι οὐδὲν πιστεύομεν ὅσον λέγετε. λέγουσιν οἱ στρατιῶται Τοσαῦτα θαύματα ἐποίησεν ὁ Ἰησοῦς καὶ οὐκ ἐπιστεύσατε, καὶ ἄρτι μέλλετε πιστεύειν ἡμῖν; ἀληθῶς λέγετε ὅτι ζῇ ὁ θεός, καὶ ὄντως ἀληθῶς ζῇ ὃν ὑμεῖς ἐσταυρώσατε. πλὴν ἠκούσαμεν ὅτι τὸν Ἰωσὴφ εἴχετε ἐν τῇ φυλακῇ κεκλεισμένον· εἶτα ἀνοίξαντες τὰς θύρας οὐχ εὕρατε αὐτόν. δότε οὖν ὑμεῖς τὸν Ἰωσήφ, καὶ οὕτω δώσομεν καὶ ἡμεῖς τὸν Ἰησοῦν. λέγουσιν οἱ Ἰουδαῖοι Τὸν Ἰωσὴφ τὸν ἐκ τῆς φυλακῆς φυγόντα εὑρήσετε αὐτὸν εἰς Ἀριμαθίαν τὴν χώραν αὐτοῦ. λέγουσι καὶ οἱ στρατιῶται Ἀπέλθατε καὶ ὑμεῖς εἰς τὴν Γαλιλαίαν καὶ εὑρήσετε τὸν Ἰησοῦν, καθὼς ὁ ἄγγελος εἶπε ταῖς γυναιξίν.

3 Ἐπὶ τούτοις οἱ Ἰουδαῖοι φοβηθέντες εἶπον τοῖς στρατιώταις Ὁρᾶτε ἵνα μηδενὶ τοῦτον τὸν λόγον εἴπητε καὶ πάντες πιστεύσουσιν εἰς τὸν Ἰησοῦν. οὗ χάριν ἔδωκαν αὐτοῖς καὶ ἀργύρια πολλά. οἱ δὲ στρατιῶται εἶπον Φοβούμεθα μή πως ἀκούσῃ ὁ Πιλᾶτος ὅτι ἐλάβομεν ἡμεῖς ἀργύρια, καὶ φονεύσει ἡμᾶς. οἱ δὲ Ἰουδαῖοι εἶπον Λάβετε ταῦτα, καὶ ἐγγυώμεθα ἡμεῖς ἵνα δώσομεν τῷ Πιλάτῳ ἀπολογίαν ἀντὶ ὑμῶν· μόνον εἴπατε ὅτι ἐκοιμᾶσθε, καὶ εἰς τὸν ὕπνον ὑμῶν ἦλθον οἱ μαθηταὶ τοῦ Ἰησοῦ καὶ ἔκλεψαν αὐτὸν ἐκ τοῦ μνήματος. ἔλαβον οὖν οἱ στρατιῶται τὰ

---

(B τοῦ Ἰησοῦ) -- τ. μαθηταῖς αὐτοῦ (E in margine add καὶ τῷ Πέτρῳ) -- ἐγὼ τοῦτο πρότερον cum AB.

2. Λέγουσιν οἱ -- ἐδυνάμεθα. εἶπον (B add οὖν) οἱ -- ὄντως ἀληθῶς ζῇ (B add καὶ) ὃν ὑμεῖς -- πλὴν (B male add οὐχ) -- τὸν (A om) ἐκ τῆς (B om) φυλακῆς φυγόντα (A φεύγοντα) -- Ἀριμαθίαν (ita uterque, non -θαίαν) -- λέγουσι καὶ (A om) οἱ στρατ. etc cum AB.

3. Ἐπὶ τούτοις -- εἰς (B ἐπὶ) τὸν Ἰησοῦν -- ἀργύρια πολλά (h. l. B add ἵνα εἴπωσιν Ἡμῶν κοιμωμένων ἦλθον οἱ μαθηταὶ αὐτοῦ καὶ ἔκλεψαν αὐτόν. Vide infra.) -- ἵνα δώσομεν (B δώσωμεν) -- ἐκοιμᾶσθε, καὶ εἰς τὸν ὕπνον -- ἐκ

ἀργύρια, καὶ εἶπον καθὼς παρηγγέλθησαν. καὶ μέχρι τῆς σήμερον ὁ τοιοῦτος ψευδὴς λόγος λέγεται παρὰ τοῖς Ἰουδαίοις.

## Caput XIV.

[1] Μεθ' ἡμέρας δὲ ὀλίγας ἦλθον ἀπὸ τῆς Γαλιλαίας εἰς τὰ Ἱεροσόλυμα ἄνθρωποι τρεῖς· ὁ εἷς ἐξ αὐτῶν ἦν ἱερεὺς ὀνόματι Φινεές, ὁ ἕτερος Λευίτης ὀνόματι Ἀγγαῖος, καὶ ὁ ἕτερος στρατιώτης ὀνόματι Ἀδᾶς. οὗτοι ἦλθον πρὸς τοὺς ἀρχιερεῖς καὶ εἶπον αὐτοῖς καὶ τῷ λαῷ Τὸν Ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε, εἴδομεν ἐν τῇ Γαλιλαίᾳ μετὰ τῶν ἕνδεκα μαθητῶν αὐτοῦ εἰς τὸ ὄρος τῶν ἐλαιῶν, διδάσκοντα πρὸς αὐτοὺς καὶ λέγοντα Πορεύθητε εἰς πάντα τὸν κόσμον καὶ κηρύξατε τὸ εὐαγγέλιον, καὶ ὅστις πιστεύσει καὶ βαπτισθῇ σωθήσεται, ὅστις δὲ οὐ πιστεύσει κατακριθήσεται. καὶ ταῦτα λέγων ἀνέβαινεν εἰς τὸν οὐρανόν. καὶ ἐθεωροῦμεν καὶ ἡμεῖς καὶ ἄλλοι πολλοὶ τῶν πεντακοσίων ἐπέκεινα.

[2] Ἀκούσαντες ταῦτα οἱ ἀρχιερεῖς καὶ οἱ Ἰουδαῖοι εἶπον πρὸς τοὺς τοιούτους τρεῖς Δότε δόξαν τῷ θεῷ τοῦ Ἰσραήλ, καὶ μετανοήσατε ἐφ' οἷς καταψεύδεσθε. ἀπεκρίθησαν οὗτοι Ζῇ ὁ θεὸς τῶν πατέρων ἡμῶν, τοῦ Ἀβραὰμ Ἰσαὰκ καὶ Ἰακώβ, οὐ ψευδόμεθα, ἀλλ' ἀληθῶς ὑμῖν λέγομεν. τότε εἶπεν ὁ ἀρχιερεύς, καὶ ἔφερον τὴν παλαιὰν τῶν Ἑβραίων ἐκ τοῦ ναοῦ, καὶ ἐξόρκισεν αὐτούς, καὶ δοὺς αὐτοῖς καὶ ἀργύρια ἀπέστειλεν αὐτοὺς εἰς τόπον ἕτερον, ἵνα μὴ τὴν ἀνάστασιν τοῦ Χριστοῦ ἐν Ἱεροσολύμοις κηρύξωσιν.

---

τοῦ μνήματος (B om καὶ εἰς τ. ὑπν. usque ἐκ τοῦ μνήματ.) -- ἔλαβον οὖν οἱ (B καὶ ἔλαβ. οἱ) -- παρὰ (B ὑπὸ) τοῖς Ἰουδαίοις cum AB.

XIV. 1. Μεθ' ἡμέρας δὲ -- ὁ εἷς ἐξ αὐτῶν ἦν ἱερ. (B Ἦν ὁ εἷς ἱερ.) -- Ἀγγαῖος (B Ἀγγέος), καὶ ὁ ἕτερος (B ὁ δ' ἄλλος) -- Ἀδᾶς (ita B ut videtur; A Εἰδάς) -- διδάσκ. πρὸς (B om) αὐτοὺς -- εἰς πάντα τὸν (B om) κόσμον -- καὶ ὅστις πιστ. καὶ βαπτισθῇ (B καὶ ὁ πιστεύσας καὶ βαπτισθεὶς) σωθ., ὅστις δὲ οὐ πιστ. (B ὁ δὲ ἀπιστήσας) κατακρ. -- καὶ ἐθεωρ. καὶ ἡμ. (B καὶ ἑωράκαμεν αὐτὸν καὶ ἡμ.) -- ἐπέκεινα cum AB.

2. Ἀκούσαντες -- οὗτοι (B οἱ τρεῖς οὗτοι) Ζῇ (B add κύριος) -- ἀληθῶς (ita uterque) -- τότε εἶπ. ὁ ἀρχ. καὶ ἔφερον τ. παλ. τῶν Ἑβρ. (cf. infra XVII, 2. τὴν παλαιὰν τῶν Ἰουδαίων. Actorum textus A XIV, 2. habet οἱ δὲ λαβόντες τὸν νόμον ὥρκισαν αὐτούς) ἐκ τοῦ ναοῦ καὶ ἐξόρκισεν (ita) αὐτοὺς (haec omnia inde a τότε ex A. Multo brevior in his est B, qui sic habet: τότε ἐξώρκισεν αὐτοὺς ὁ ἀρχιερεύς) -- καὶ (B om) ἀργύρια -- τόπον ἕτερον (B ἕτερ. τόπ.) -- τοῦ Χριστοῦ (B τοῦ κυρίου) -- κηρύξωσιν cum AB.

[3] Τῶν τοιούτων οὖν λόγων ἀκουσθέντων εἰς πάντα τὸν λαὸν συνήχθη ὁ ὄχλος ἐν τῷ ναῷ. καὶ ἐγένετο μεγάλη στάσις. ἔλεγον γὰρ πολλοὶ ὅτι ὁ Ἰησοῦς ἀνέστη ἀπὸ τῶν νεκρῶν, καθὼς ἀκούομεν, καὶ διὰ τί ἐσταυρώσατε αὐτόν; ὁ δὲ Ἄννας καὶ Καϊάφας εἶπον Μὴ πιστεύετε, Ἰουδαῖοι, ὅσα λέγουσιν οἱ στρατιῶται, μηδὲ πιστεύετε ὅτι εἶδον αὐτοὶ ἐξ οὐρανοῦ καταβάντα ἄγγελον. ἡμεῖς γὰρ ἐδώκαμεν ἀργύρια πρὸς τοὺς στρατιώτας ἵνα μηδενὶ λέγωσι τοιούτους λόγους, καὶ οὕτως ἔδωκαν καὶ οἱ μαθηταὶ τοῦ Ἰησοῦ πρὸς αὐτοὺς ἀργύρια ἵνα λέγωσιν ὅτι Ἰησοῦς ἀνέστη ἀπὸ τῶν νεκρῶν.

## Caput XV.

[1] Λέγει ὁ Νικόδημος Ὦ παῖδες τῶν Ἱεροσολυμιτῶν. ὁ προφήτης Ἡλίας ἀνέβη εἰς τὸ ὕψος τοῦ οὐρανοῦ μετὰ πυρίνου ἅρματος, καὶ οὐδὲν ἄπιστον εἰ καὶ ὁ Ἰησοῦς ἀνέστη· προτύπωσις γὰρ τοῦ Ἰησοῦ ὁ προφήτης Ἡλίας ἦν, ἵνα ἀκούσαντες ὅτι ὁ Ἰησοῦς ἀνέστη, μὴ ἀπιστήσητε. ἐγὼ οὖν λέγω καὶ συμβουλεύομαι ὅτι πρέπει ἵνα ἀποστείλωμεν στρατιώτας εἰς τὴν Γαλιλαίαν, ἐκεῖ ὅπου μαρτυροῦσιν οἱ ἄνθρωποι ὅτι εἶδον αὐτὸν μετὰ τῶν μαθητῶν αὐτοῦ, ὅπως γυρεύσωσι καὶ εὕρωσιν αὐτόν, καὶ οὕτως ἵνα ζητήσωμεν ἐξ αὐτοῦ συγχώρησιν εἰς τὸ κακὸν ὅπερ εἰς αὐτὸν ἐποιήσατε. ἤρεσεν οὗτος ὁ λόγος, καὶ ἐξελέξαντο στρατιώτας καὶ ἀπέστειλαν εἰς τὴν Γαλιλαίαν. καὶ τὸν μὲν Ἰησοῦν οὐχ εὗρον, εὗρον δὲ εἰς τὴν Ἀριμαθίαν τὸν Ἰωσήφ.

[2] Ἐπιστραφέντων οὖν τῶν στρατιωτῶν γνωρίσαντες οἱ ἀρχιερεῖς ὅτι ὁ Ἰωσὴφ εὑρέθη, συνήγαγον τὸν λαὸν καὶ εἶπον Τί

3. Τῶν τοιούτων οὖν (B om) -- διὰ τί (B διὰ τί ἵνα) ἐσταυρώσατε (uterque codex σταυρώσετε) -- μηδὲ πιστεύετε (B μηδὲ πιστεύσητε) -- ἐξ οὐρ. καταβάντα (B καταβ. ἐξ οὐρ.) -- ὅτι Ἰησοῦς (B ὁ Ἰησοῦς) ἀν. ἀπὸ τ. νεκρῶν cum AB.

XV, 1. Λέγει ὁ Νικόδημος -- ἄπιστον εἰ καὶ (A εἰ δὲ καὶ) ὁ Ἰησοῦς (B ὁ κύριος) -- ἵνα ἀκούσαντες (A ὁ ἀκούσας) -- μὴ ἀπιστήσητε (A μὴ ἀπιστήσῃ) -- συμβουλεύομαι (B -λεύω) -- ἀποστείλωμεν (A -στέλομεν) -- ἐκεῖ (B om) -- γυρεύσωσι καὶ (B om γυρ. καὶ) εὕρ. -- ἵνα (B om) ζητήσωμεν -- εἰς (A πρὸς) αὐτὸν ἐπ. ἤρεσεν (B ἤρεσε δὲ αὐτῶν sic) οὗτος ὁ λόγος -- εἰς τ. Ἀριμαθίαν (A -θείαν. B ut ed. Thil. -θαίαν; sed vide supra, item infra 15, 3.) τὸν Ἰωσήφ (B τ. Ἰωσ. ante εἰς habet) cum AB.

2. Ἐπιστραφέντων -- στρατιωτῶν (B add καὶ) -- ποιήσωμεν (B -ήσομεν)

ποιήσωμεν τῷ Ἰωσὴφ ἐλθεῖν πρὸς ἡμᾶς; συμβουλευσάμενοι οὖν ἔγραψαν αὐτῷ ἐπιστολὴν ἔχουσαν οὕτως Πάτερ Ἰωσήφ, Εἰρήνη σοὶ καὶ παντὶ τῷ οἴκῳ σου καὶ τοῖς φίλοις σου. ἡμεῖς οἴδαμεν ὅτι ἐπταίσαμεν πρὸς τὸν θεὸν καὶ πρὸς σὲ τὸν δοῦλον αὐτοῦ. διὰ τοῦτο παρακαλοῦμέν σε ἵνα ἔλθῃς ἐνταῦθα πρὸς ἡμᾶς τοὺς παῖδάς σου. πολλὰ γὰρ ἐθαυμάσαμεν πῶς ἔφυγες ἐκ τῆς φυλακῆς, καὶ ἀληθῶς λέγομεν ὅτι κακὴν βουλὴν εἴχομεν κατὰ σοῦ· ὁ θεὸς δὲ ἰδὼν ὅτι ἀδίκως ἐβουλευόμεθα κατὰ σοῦ, ἐλυτρώσατό σε ἀπὸ τῶν χειρῶν ἡμῶν. ἀλλ' ἔρχου πρὸς ἡμᾶς· σὺ γὰρ εἶ τοῦ λαοῦ ἡμῶν ἡ τιμή.

3 Ταύτην τὴν ἐπιστολὴν ἀπέστειλαν εἰς Ἀριμαθίαν οἱ Ἰουδαῖοι μετὰ στρατιωτῶν ἑπτά, φίλων τοῦ Ἰωσήφ· οἵτινες ἀπελθόντες καὶ εὑρόντες αὐτὸν καὶ προσαγορεύσαντες ἐντίμως, ὡς παρηγγέλθησαν, ἔδωκαν αὐτῷ τὴν ἐπιστολήν. καὶ οὗτος δεξάμενος ταύτην καὶ ἀναγνοὺς ἐδόξασεν τὸν θεόν, καὶ κατησπάσατο τοὺς στρατιώτας, καὶ τραπέζης ἐπιτεθείσης ἤσθιε καὶ ἔπινε μετ' αὐτῶν δι' ὅλης τῆς ἡμέρας καὶ τῆς νυκτός.

4 Τῇ ἐπαύριον δὲ ἐπορεύθη μετ' αὐτῶν εἰς Ἱεροσόλυμα. καὶ ἐξῆλθεν ὁ λαὸς εἰς ἀπάντησιν αὐτοῦ καὶ κατησπάσαντο αὐτόν. ὑπεδέξατο δὲ αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ ὁ Νικόδημος. τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ προσκαλεσάμενοι αὐτὸν ἐν τῷ ναῷ ὅ τε Ἄννας καὶ Καϊάφας οἱ ἀρχιερεῖς εἶπον αὐτῷ Δὸς δόξαν τῷ θεῷ τοῦ Ἰσραήλ, καὶ εἰπὲ ἡμῖν τὴν ἀλήθειαν. οἴδαμεν γὰρ ὅτι τὸν Ἰησοῦν ἐκήδευσας, καὶ ἐν τούτῳ ἐκρατήσαμέν σε καὶ κατεκλείσαμεν ἐν τῇ φυλακῇ. εἶτα ζητήσαντες ἐκβαλεῖν σε πρὸς τὸ φονευθῆναι οὐχ εὕρομεν, καὶ ἐθαυμάσαμεν καὶ ἐφοβήθημεν πολλά· πλὴν ἐδεόμεθα τοῦ θεοῦ εὑρεῖν καὶ ἐρωτῆσαί σε. λέγε οὖν ἡμῖν τὸ ἀληθές.

---

-- ἐβουλευόμεθα (uterque codex ἐβουλόμεθα) -- ἀπὸ τῶν χειρῶν (B ἐκ χειρὸς) ἡμῶν -- ἡμῶν (A om) ἡ τιμή cum AB.

3. Ταύτην -- Ἀριμαθίαν (ita uterque) -- στρατ. ἑπτά (B ζ' στρατ.) -- οὗτος (B οὕτως) δεξ. ταύτην (B αὐτήν) -- τῆς ἡμέρας καὶ (haec B om) τ. νυκτός.

4. Τῇ ἐπαύριον δὲ -- ἀπάντησιν (B ὑπάντησιν) -- κατησπάσαντο (B -σατο) αὐτ. ὑπεδ. δὲ (B om) αὐτὸν -- ἐκήδευσας (A -σες, sed infra -σας) -- οὐχ εὕρομεν (A add γάρ) -- τὸ ἀληθές cum AB.

5 Ἔφη πρὸς αὐτοὺς ὁ Ἰωσήφ Κατὰ τὴν ἑσπέραν τῆς παρασκευῆς, ὅτε με ἐν φυλακῇ κατησφαλίσατε, ἔπεσον εἰς προσευχὴν δι᾽ ὅλης τῆς νυκτὸς καὶ δι᾽ ὅλης τῆς ἡμέρας τοῦ σαββάτου. καὶ τοῦ μεσονυκτίου ὁρῶ τὸν οἶκον τῆς φυλακῆς ὅτι ἐσίκωσαν αὐτὸν ἄγγελοι τέσσαρες, ἀπὸ τῶν τεσσάρων γονιῶν κατέχοντες αὐτόν. καὶ εἰσῆλθεν ὁ Ἰησοῦς ὡς ἀστραπή, καὶ ἀπὸ τοῦ φόβου ἔπεσον εἰς τὴν γῆν. κρατήσας οὖν με τῆς χειρὸς ἤγειρε λέγων Μὴ φοβοῦ, Ἰωσήφ. εἶτα περιλαβών κατεφίλησέ με καὶ λέγει Ἐπιστρέφου καὶ ἴδε τίς εἰμι. στραφεὶς οὖν καὶ ἰδὼν εἶπον Κύριε, οὐκ οἶδα τίς εἶ. λέγει ἐκεῖνος Ἐγώ εἰμι Ἰησοῦς, ὃν πρόχθες ἐκήδευσας. λέγω πρὸς αὐτόν Δεῖξόν μοι τὸν τάφον, καὶ τότε πιστεύσω. λαβὼν οὖν με τῆς χειρὸς ἀπήγαγεν ἐν τῷ τάφῳ ὄντι ἠνεῳγμένῳ. καὶ ἰδὼν ἐγὼ τὴν σινδόνα καὶ τὸ σουδάριον καὶ γνωρίσας εἶπον Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, καὶ προσεκύνησα αὐτόν. εἶτα λαβών με τῆς χειρός, ἀκολουθούντων καὶ τῶν ἀγγέλων, ἤγαγεν εἰς Ἀριμαθίαν ἐν τῷ οἴκῳ μου, καὶ λέγει μοι Κάθου ἐνταῦθα ἕως ἡμέρας τεσσαράκοντα. ἐγὼ γὰρ ὑπάγω εἰς τοὺς μαθητάς μου, ἵνα πληροφορήσω αὐτοὺς κηρύττειν τὴν ἐμὴν ἀνάστασιν.

## CAPUT XVI.

1 Ταῦτα εἰπόντος τοῦ Ἰωσὴφ ἔκραξαν οἱ ἀρχιερεῖς πρὸς τὸν λαόν Ἡμεῖς οἴδαμεν ὅτι ὁ Ἰησοῦς εἶχε καὶ πατέρα καὶ μητέρα· πῶς μέλλομεν πιστεῦσαι ὅτι αὐτός ἐστιν ὁ Χριστός; ἀπεκρίθη ἐκ τῶν Λευιτῶν εἷς καὶ εἶπεν Ἐγὼ οἶδα τὴν γενεὰν τοῦ

---

5. Ἔφη - - δι᾽ ὅλης τῆς νυκτ. καὶ (haec A om) - - τοῦ μεσονυκτίου (B τὸ μεσονυκτίον) - - τῆς φυλακῆς ὅτι ἐσίκωσαν (codex ἐσύκωσαν. Cf. Gloss. med. et inf. graec. sub σικόννειν. Eandem vocem cod. B tenet: vide post.) αὐτὸν ἄγγελοι τέσσαρες (ita A; B τῆς φυλακῆς ἐσυκόμενον [sic; lege σικώμενον. Thilo correxit συρόμενον] ὑπὸ τεσσάρων ἀγγέλων,) ἀπὸ - - κατέχοντες (sic etiam B praecedente ἀγγέλων) αὐτόν - - φόβου (B add μου) ἔπεσον - - λέγει (B add μοι) Ἐπιστρέφου (uterque codex ἐπιστράφου) - - λέγει (B add μοι) ἐκεῖνος - - πρόχθες (A προχθές) - - ἀπήγαγεν (B add με) - - ἤγαγεν (B add με) εἰς Ἀριμαθίαν (sic uterque) - - ἡμέρας τεσσαράκ. (B τεσσαράκ. ἡμερῶν) ἐγὼ γὰρ (B om) ὑπ. εἰς (A πρὸς) τοὺς - - ἀνάστασιν cum AB.

XVI, 1. Ταῦτα εἰπόντος - - καὶ (B om) πατέρα κ. μητ. - - τὴν γενεὰν (ita uterque codex. Item in veterrima editione (principe) versionis germanicae est: *Ich hab erkendt das geschlecht Jhesu, wann alweg mit den gotsförchtigen haben*

Ἰησοῦ, ἀνθρώπους εὐγενεῖς, δουλευτὰς τοῦ θεοῦ μεγάλους καὶ λαμβάνοντας δεκάτας ἐκ τοῦ λαοῦ τῶν Ἰουδαίων. καὶ γινώσκω καὶ τὸν Συμεὼν τὸν πρεσβύτην, ὅτι ἐδέξατο αὐτὸν ὅτε ἦν βρέφος καὶ εἶπε πρὸς αὐτόν Νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα.

2 Εἶπον οἱ Ἰουδαῖοι Εὕρωμεν δὴ τοὺς τρεῖς ἀνθρώπους τοὺς ἰδόντας αὐτὸν εἰς τὸ ὄρος τῶν ἐλαιῶν, ὡς ἂν ἐρωτήσωμεν αὐτοὺς καὶ μάθωμεν ἀκριβέστερον τὴν ἀλήθειαν. εὗρον καὶ ἔφερον αὐτοὺς ἔμπροσθεν πάντων, καὶ ἐξόρκισαν αὐτοὺς εἰπεῖν τὴν ἀλήθειαν. οἱ δὲ εἶπον Ζῇ ὁ θεὸς τοῦ Ἰσραήλ, ὅτι εἴδομεν τὸν Ἰησοῦν εἰς τὸ ὄρος τῶν ἐλαιῶν ζῶντα καὶ εἰς τὸν οὐρανὸν ἀναβαίνοντα.

3 Τότε ὁ Ἄννας καὶ Καϊάφας διεχώρισαν τοὺς τρεῖς ἕνα καὶ ἕνα, καὶ ἠρώτησαν αὐτοὺς ἰδίᾳ καθ' ἕνα. ὡμοφώνησαν οὖν καὶ εἶπον καὶ οἱ τρεῖς ἕνα λόγον. ἀπεκρίναντο οἱ ἀρχιερεῖς λέγοντες Ἡ γραφὴ ἡμῶν λέγει ὅτι πᾶν ῥῆμα ἐπὶ δύο ἢ τριῶν μαρτύρων σταθήσεται. ὁ οὖν Ἰωσὴφ ὡμολόγει ὅτι ἐκήδευσε καὶ ἔθαψεν αὐτὸν μετὰ τοῦ Νικοδήμου, καὶ πῶς ἐστὶν ἀλήθεια ὅτι ἠγέρθη.

---

*sy in dem tempel unauffhörlich geopffert.* Nec aliter habet editio vetus altera, quam ad manus habeo. Hinc nolui τοὺς γονεῖς, quod in altero textu graeco legitur, reponere.) -- τοῦ θεοῦ μεγάλους (sic; item B μεγάλους τ. θ.) -- δεκάτας (uterque codex δεκάδας) -- καὶ (B om) γινώσκω καὶ τὸν Συμ. (B καὶ Συμεῶνα) -- εἶπε πρὸς αὐτόν (A πρὸς τὸ βρέφος) -- δέσποτα cum AB.

2. Εἶπον -- Εὕρωμεν δή (B Εὗρον με δεῖ, Thilo correxit Εὑρεῖν δεῖ) τοὺς τρεῖς -- καὶ μάθωμεν ἀκριβέστ. -- καὶ ἔφερον αὐτοὺς (B om haec: καὶ μάθωμεν usque ἔφερ. αὐτούς) ἔμπροσθεν (B -σθε) -- ἐξόρκισαν (B ἐξώρκ.) -- εἶπον (B εἶπαν) -- ἀναβαίνοντα cum AB.

3. Τότε ὁ Ἄννας καὶ (B add ὁ) Καϊάφας -- ὅτι (B om) πᾶν ῥῆμα -- ὡμολόγει (A ὁμολόγη, B ὁμολογεῖ) -- ἀλήθεια (A ἀληθῶς) ὅτι ἠγέρθη cum AB.

# EVANGELIUM NICODEMI PARS II.

SIVE

# DESCENSUS CHRISTI AD INFEROS.

## Caput I. (XVII.)

[1] Λέγει Ἰωσήφ Καὶ τί θαυμάζετε ὅτι Ἰησοῦς ἠγέρθη; οὐκ ἔστιν τοῦτο θαυμαστόν· ἀλλὰ τοῦτο θαυμαστόν ἐστιν ὅτι οὐκ ἠγέρθη μόνος, ἀλλ' ὅτι καὶ ἄλλους πολλοὺς νεκροὺς ἤγειρεν, οἵτινες ἐμφανίσθησαν ἐν Ἱεροσολύμοις πρὸς πολλούς. καὶ εἰ τοὺς ἄλλους οὐ γινώσκετε, τέως τὸν Συμεών, ὅστις ἐδέξατο τὸν Ἰησοῦν, καὶ τοὺς δύο αὐτοῦ υἱούς, οὓς ἀνέστησεν, τέως αὐτοὺς γινώσκετε. ἡμεῖς γὰρ ἐθάψαμεν αὐτοὺς πρὸ ὀλίγου· νῦν δὲ οἱ μὲν τάφοι αὐτῶν ὁρῶνται ἠνεῳγμένοι κενοί, αὐτοὶ δέ εἰσι ζῶντες καὶ διατρίβοντες ἐν τῇ Ἀριμαθίᾳ. ἀπέστειλαν οὖν ἀνθρώπους, καὶ εὗρον τὰ μνημεῖα αὐτῶν ἠνεῳγμένα κενά. λέγει ὁ Ἰωσήφ Ἀπέλθωμεν εἰς τὴν Ἀριμαθίαν καὶ εὑρήσωμεν αὐτούς.

[2] Τότε ἠγέρθησαν οἱ ἀρχιερεῖς ὁ Ἄννας καὶ Καϊάφας καὶ Ἰωσὴφ καὶ Νικόδημος καὶ Γαμαλιὴλ καὶ ἕτεροι μετ' αὐτῶν καὶ ἀπῆλθον εἰς Ἀριμαθίαν, καὶ εὗρον οὓς ὁ Ἰωσὴφ ἔλεγεν. ἐποίησαν οὖν προσευχὴν καὶ ἠσπάσαντο ἀλλήλους· εἶτα ἦλθον μετ' αὐτῶν εἰς Ἱεροσόλυμα, καὶ ἔφερον αὐτοὺς ἐν τῇ συναγωγῇ, καὶ ἠσφαλίσαντο τὰς θύρας, καὶ ἔθηκαν εἰς μέσον τὴν παλαιὰν τῶν

I, 1. Λέγει (B add ὁ) Ἰωσήφ -- ὅτι (B add ὁ) Ἰησοῦς -- **ἐμφανίσθησαν** (ita A; B ἐνεφαν.?) -- τὸν Συμεὼν (B -μεῶνα) -- υἱοὺς (B add **καὶ** τοὺς δύο ἀδελφούς) -- ἠνεῳγμένοι (ita B; A ἀνεωγμ. sed statim post idem cum B ἠνεωγμένα) κενοί (A om) -- Ἀριμαθίᾳ (ita uterque) -- εὑρήσωμεν (B -**σομεν**) αὐτούς cum AB.

2. Τότε -- καὶ (A add ὁ) Καϊάφας -- τοῦ Ἰσραὴλ καὶ τὸν (sed uterque

Ἰουδαίων, καὶ εἶπον πρὸς αὐτοὺς οἱ ἀρχιερεῖς Θέλομεν ἵνα ὀμόσητε εἰς τὸν θεὸν τοῦ Ἰσραὴλ καὶ τὸν Ἀδωναΐ, καὶ οὕτως ἵνα εἴπητε τὴν ἀλήθειαν, πῶς ἀνέστητε καὶ τίς ὑμᾶς ἀνέστησεν ἐκ νεκρῶν.

3 Τοῦτο ἀκούσαντες οἱ ἀναστάντες ἄνθρωποι ἐποίησαν εἰς τὰ πρόσωπα αὐτῶν τὸν τύπον τοῦ σταυροῦ καὶ εἶπον πρὸς τοὺς ἀρχιερεῖς Δότε ἡμῖν χάρτην καὶ μέλαν καὶ κάλαμον. ἔφερον οὖν ταῦτα. καὶ καθίσαντες ἔγραψαν οὕτως.

## Caput II. (XVIII.)

1 Κύριε Ἰησοῦ Χριστέ, ἡ ἀνάστασις καὶ ἡ ζωὴ τοῦ κόσμου, δὸς ἡμῖν χάριν ἵνα διηγησώμεθα τὴν ἀνάστασίν σου καὶ τὰ θαυμάσιά σου, ἃ ἐν τῷ ᾅδῃ ἐποίησας. Ἡμεῖς οὖν ἦμεν ἐν τῷ ᾅδῃ μετὰ πάντων τῶν ἀπ' αἰῶνος κεκοιμημένων. ἐν ὥρᾳ δὲ μεσονυκτίου εἰς τὰ σκοτεινὰ ἐκεῖνα ἀνέτειλεν ὥσπερ φῶς ἡλίου καὶ ἔλαμψεν, καὶ ἐφωτίσθημεν πάντες καὶ εἴδομεν ἀλλήλους. καὶ εὐθὺς ὁ πατὴρ ἡμῶν Ἀβραὰμ μετὰ τῶν πατριαρχῶν καὶ τῶν προφητῶν ἑνωθείς, καὶ χαρᾶς ὁμοῦ πλησθέντες εἶπον πρὸς ἀλλήλους Τοῦτο τὸ φῶς ἀπὸ μεγάλου φωτισμοῦ ἐστίν. ὁ προφήτης Ἡσαΐας ἐκεῖ παρὼν εἶπε Τοῦτο τὸ φῶς ἐκ τοῦ πατρός ἐστι καὶ ἐκ τοῦ υἱοῦ καὶ ἐκ τοῦ ἁγίου πνεύματος· περὶ οὗ προεφήτευσα ἔτι ζῶν λέγων Γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ, ὁ λαὸς ὁ καθήμενος ἐν σκότει ἴδε φῶς μέγα.

2 Εἶτα ἦλθεν εἰς τὸ μέσον ἕτερος ἀπὸ τῆς ἐρήμου ἀσκητής, καὶ εἶπον πρὸς αὐτὸν οἱ πατριάρχαι Τίς εἶ; ὁ δὲ εἶπεν Ἐγώ εἰμι Ἰωάννης, τὸ τέλος τῶν προφητῶν, ὃς ἐποίησα τὰς ὁδοὺς τοῦ υἱοῦ τοῦ θεοῦ εὐθείας, καὶ ἐκήρυξα τῷ λαῷ μετάνοιαν εἰς ἄφεσιν ἁμαρτιῶν. καὶ ὁ υἱὸς τοῦ θεοῦ εἰς ἐμὲ ἦλθε, καὶ ἀπὸ μακρόθεν ἰδὼν αὐτὸν εἶπον πρὸς τὸν λαόν Ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ὁ

---

codex τοῦ) Ἀδωναΐ -- ἐκ (B add τῶν) νεκρῶν cum AB.

3. Τοῦτο -- ἀναστάντες (A ἀναστήσαντες) -- χάρτην (A χαρτί [χαρτίον]) -- καθίσαντες ἔγραψαν (B καθίσας εἰς ἓξ αὐτῶν ἔγραψεν) οὕτως cum AB.

II, 1. Κύριε -- καὶ ἡ (A om) ζωὴ -- ἡμεῖς οὖν (A om) -- καὶ ἐκ (B om) τοῦ υἱοῦ καὶ ἐκ (B om) τοῦ ἁγίου -- προεφήτευσα (A -τευσεν) -- ἴδε (B εἶδε) φ. μέγα cum AB.

2 Εἶτα ἦλθεν -- καὶ (ita uterque) τὸ πνεῦμα -- ἤκουσα καὶ (B om)

αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. καὶ μετὰ τῆς χειρός μου ἐβάπτισα αὐτὸν ἐν τῷ Ἰορδάνῃ ποταμῷ, καὶ εἶδον ὡσεὶ περιστερὰν καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐπ' αὐτὸν ἐρχόμενον, καὶ ἤκουσα καὶ τῆς φωνῆς τοῦ θεοῦ καὶ πατρὸς οὕτω λέγοντος Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα. καὶ διὰ τοῦτο ἀπέστειλέ με καὶ πρὸς ὑμᾶς, ἵνα κηρύξω πῶς ἔρχεται ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ ὧδε, ἵνα ὅστις πιστεύσῃ πρὸς αὐτὸν σωθήσεται, ὅστις δὲ οὐ πιστεύσει εἰς αὐτὸν κατακριθήσεται. διὰ τοῦτο λέγω πρὸς ἅπαντας ὑμᾶς, καθὼς ἴδητε αὐτόν, ἵνα προσκυνήσητε πάντες, ὅτι νῦν μόνον ἐστὶ πρὸς ὑμᾶς ὁ τῆς μετανοίας καιρὸς ὑπὲρ οὗ προσεκυνήσατε εἰς τὸν ἄνω μάταιον κόσμον τοῖς εἰδώλοις, καὶ ὑπὲρ ὧν ἡμαρτήκατε· ἐν ἄλλῳ δὲ καιρῷ τοῦτο γενέσθαι ἀδύνατον.

## CAPUT III. (XIX.)

Τοῦ Ἰωάννου τοίνυν διδάσκοντος οὕτως τοὺς ἐν τῷ ᾅδῃ, ἀκούσας καὶ ὁ πρωτόπλαστος καὶ προπάτωρ Ἀδὰμ λέγει πρὸς τὸν υἱὸν αὐτοῦ τὸν Σὴθ Υἱέ μου, θέλω ἵνα εἴπῃς τοῖς προπάτορσι τοῦ γένους τῶν ἀνθρώπων καὶ τοῖς προφήταις, ὅτε ἔπεσον ἵνα ἀποθνήσκω, ποῦ σε ἀπέστειλα. ὁ δὲ Σὴθ ἔφη Προφῆται καὶ πατριάρχαι, ἀκούσατε. ὁ ἐμὸς πατὴρ Ἀδὰμ ὁ πρωτόπλαστος πεσών ποτε εἰς τὸ τελευτᾶν ἀπέστειλέ με ποιήσασθαι δέησιν πρὸς τὸν θεὸν ἔγγιστα τῆς πύλης τοῦ παραδείσου, ὡς ἂν ὁδηγήσῃ με δι' ἀγγέλου πρὸς τὸ δένδρον τῆς ἐλεημοσύνης καὶ ἐπάρω ἔλαιον καὶ ἀλείψω τὸν ἐμὸν πατέρα, καὶ ἀναστῇ ἀπὸ τῆς ἀσθενείας. ὅπερ δὴ καὶ ἐποίησα. καὶ μετὰ τὴν εὐχὴν ἐλθὼν ἄγγελος κυρίου λέγει μοι Τί, Σήθ, αἰτεῖς; ἔλαιον αἰτεῖς τὸ τοὺς ἀσθενεῖς

---

τῆς φωνῆς τοῦ (A om) θεοῦ -- ἔρχεται (ab hac voce incipit fragmentum Vaticanum) -- υἱὸς τοῦ θεοῦ (cum AC; B τοῦ θε. υἱός) -- ὅστις πιστεύσῃ (cum AC; B -σει) -- εἰς αὐτὸν (haec cum AC; B om) -- ἵνα προσκυνήσητε (cum AB; C -νήσετε) -- ἡμαρτήκατε (cum BC; A ἐμαρτυρήσατε) -- ἀδύνατον cum ABC.

III. Τοῦ Ἰωάννου τοίνυν -- πρὸς τὸν υἱ. αὐτ. τὸν Σὴθ (cum AC; B πρὸς Σὴθ τὸν υἱ. αὐτ.) -- ἵνα ἀποθνήσκω (cum AC; B τοῦ ἀποθνήσκειν με) -- Ἀδὰμ (cum BC; A ὁ Ἀδὰμ) -- πρὸς (desideratur in ABC) τὸ δένδρον τ. ἐλεημ. (B solus add τοῦτ' ἔστι τὸ ἔλεος τοῦ ἐλαίου) -- ὅπερ δὴ (cum AC; B δέ) -- ἄγγελος (cum AC; B ὁ ἄγγελος) etc cum ABC.

ἀνιστῶν, ἢ τὸ δένδρον τὸ ῥέον τὸ τοιοῦτον ἔλαιον διὰ τὴν τοῦ σοῦ πατρὸς ἀσθένειαν; τοῦτο οὐκ ἔστιν εὑρεθῆναι νυνί. ἄπιθι οὖν καὶ εἰπὲ τῷ πατρί σου ὅτι μετὰ τὸ συντελεσθῆναι ἀπὸ κτίσεως κόσμου ἔτη πεντακισχίλια πεντακόσια, τότε κατέλθῃ ἐν τῇ γῇ ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ ἐνανθρωπήσας, κἀκεῖνος ἀλείψει αὐτὸν τῷ τοιούτῳ ἐλαίῳ, καὶ ἀναστήσεται, καὶ ἐν ὕδατι καὶ πνεύματι ἁγίῳ πλυνεῖ καὶ αὐτὸν καὶ τοὺς ἐξ αὐτοῦ, καὶ τότε ἀπὸ πάσης νόσου ἰαθήσεται· νῦν δὲ τοῦτο γενέσθαι ἀδύνατον.

Ταῦτα ἀκούσαντες οἱ πατριάρχαι καὶ οἱ προφῆται ἐχαίροντο μεγάλως.

## Caput IV. (XX.)

1 Ἐν τοιαύτῃ δὲ τῶν ἁπάντων ὄντων χαρᾷ ἦλθεν ὁ Σατὰν ὁ κληρονόμος τοῦ σκότους καὶ λέγει τῷ Ἅδῃ Παμφάγε καὶ ἀκόρεστε, ἄκουσόν μου τοὺς λόγους. ἐκ τοῦ γένους τῶν Ἰουδαίων τις Ἰησοῦς λεγόμενος, ὀνομάζων ἑαυτὸν υἱὸν θεοῦ· οὗτος δὲ ὢν ἄνθρωπος, ἀπὸ συνεργείας ἡμετέρας ἐσταύρωσαν αὐτὸν οἱ Ἰουδαῖοι. καὶ νῦν αὐτοῦ τελευτήσαντος ἔσο ἡτοιμασμένος ὅπως ὧδε κατασφαλίσωμεν αὐτόν. ἐγὼ γὰρ οἶδα ὅτι ἄνθρωπός ἐστι, καὶ ἤκουσα καὶ αὐτοῦ λέγοντος ὅτι περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου. ἐποίησέ μοι καὶ πολλὰ κακὰ ἐν τῷ ἄνωθεν κόσμῳ τοῖς βροτοῖς συναναστρεφόμενος. ὅπου γὰρ ηὕρισκε τοὺς ἐμοὺς δούλους, ἐδίωκεν αὐτούς, καὶ ὅσους ἀνθρώπους ἐποίουν ἐγὼ κυλλοὺς τυφλοὺς χωλοὺς λεπρούς, καὶ εἴ τι τοιοῦτον, διὰ λόγου μόνου ἰᾶτο αὐτούς· καὶ πολλοὺς ἑτοιμάσας εἰς τὸ ταφῆναι, καὶ τούτους διὰ λόγου μόνου πάλιν ἀνεζώωσε.

2 Λέγει ὁ Ἅδης Καὶ τοσοῦτόν ἐστιν οὗτος δυνατὸς ὥστε

---

τὸ ῥέον (cum AC; B τὸ ὡραῖον) -- τοῦ σοῦ (A om) πατρὸς -- ἄπιθι οὖν (cum AC; B om) -- ἐνανθρωπήσας (cum AB; C ἐν ἀνθρωπήσει) -- μεγάλως cum ABC.

IV, 1. Ἐν τοιαύτῃ -- ὄντων (cum AC; B om) -- ὁ Σατὰν (hoc accentu A. Eundem corrector codicis Claromontani habet; cf. Prolegg. p. XXII.) -- τοῦ σκότους (C σκότου) -- οὗτος (ita codices. Nescio an ὄντως praestet) δὲ ὢν -- ἐποίησέ μοι καὶ (C ἐποίησε δὲ καὶ) -- συναναστρεφόμενος (AC -στραφόμενος) -- ηὕρισκε (C εὕρισκεν) -- ἐγὼ (C om) -- τοιοῦτον (cum A; BC τοιούτων) -- ἑτοιμάσας (cum AB; C ἑτοιμάσθην) -- ταφῆναι (A στραφῆναι) -- μόνου (cum A; BC om) πάλ. ἀνεζώωσε (AC -ζόωσε) cum ABC.

2. Λέγει ὁ Ἅδης -- δυνήσεται (cum A; BC -σηται) -- ἤκουσας (cum

διὰ λόγου μόνου ποιεῖν τοιαῦτα; ἢ τοιούτῳ ὄντι δύνασαι σὺ ἀντιστῆναι αὐτῷ; ἐμοὶ δοκεῖ, τοιούτῳ ὄντι οὐδεὶς αὐτῷ ἀντιστῆναι δυνήσεται. εἰ δὲ λέγεις ὅτι ἤκουσας αὐτοῦ φοβουμένου τὸν θάνατον, παίζων σε καὶ γελῶν ἔφη τοῦτο, θέλων ἵνα σε ἁρπάσῃ ἐν χειρὶ δυνατῇ. καὶ οὐαὶ οὐαί σοι εἰς τὸν αἰῶνα τὸν ἅπαντα. Λέγει ὁ Σατὰν Παμφάγε καὶ ἀκόρεστε Ἅδη, τοσοῦτον ἐφοβήθης ἀκούσας περὶ τοῦ κοινοῦ ἡμῶν ἐχθροῦ; ἐγὼ αὐτὸν οὐκ ἐφοβήθην, ἀλλ' ἐνήργησα τοὺς Ἰουδαίους καὶ ἐσταύρωσαν αὐτόν, καὶ ἐπότισαν αὐτὸν καὶ χολὴν μετὰ ὄξους. ἑτοιμάσθητι οὖν ὅπως ἐλθόντα κρατήσῃς αὐτὸν ἰσχυρά.

3 Ἀπεκρίθη ὁ Ἅδης Κληρονόμε τοῦ σκότους, υἱὲ τῆς ἀπωλείας, διάβολε, νῦν μοι εἶπας ὅτι πολλοὺς οὓς σὺ ἑτοίμασας εἰς τὸ ταφῆναι, λόγῳ μόνῳ τούτους αὐτὸς ἀνεζώωσε· καὶ εἰ ἑτέρους τῆς ταφῆς ἠλευθέρωσε, πῶς αὐτὸς καὶ ἐν ποίᾳ δυνάμει παρ' ἡμῶν κρατηθήσεται; ἐγὼ δὲ πρὸ ὀλίγου κατέπιόν τινα νεκρὸν ὀνόματι Λάζαρον, καὶ μετ' ὀλίγον τις ἐκ τῶν ζώντων διὰ λόγου μόνου βίᾳ ἐκ τῶν ἐγκάτων μου τοῦτον ἀνέσπασεν. οἶμαι δὲ εἶναι αὐτὸν ὃν σὺ φής. εἰ οὖν ἐκεῖνον ἐνθάδε δεξόμεθα, δέδοικα μή πως καὶ περὶ τῶν λοιπῶν κινδυνεύσωμεν· πάντας γὰρ οὓς ἀπ' αἰῶνος κατέπιον, ἰδοὺ ταρασσομένους κατανοῶ, καὶ ἀλγῶ τὴν κοιλίαν μου. καὶ σημεῖον οὐκ ἀγαθόν μοι δοκεῖ ὁ προαναρπασθεὶς Λάζαρος ἀπ' ἐμοῦ· οὐ γὰρ ὡς νεκρός, ἀλλ' ὡς ἀετὸς ἀπ' ἐμοῦ ἐξεπέτασεν· οὕτω γὰρ συντόμως ἡ γῆ αὐτὸν ἔξω ἔρριψε. διὸ καὶ ὁρκίζω καὶ σὲ εἰς τὰς σὰς χάριτας καὶ εἰς τὰς ἐμάς, μὴ ἀγάγῃς αὐτὸν ἐνταῦθα. οἶμαι γὰρ ὅτι διὰ τὸ πάντας ἀναστῆσαι νεκροὺς ὧδε παραγίνεται. καὶ τοῦτό σοι

---

BC; A ἤκουες) -- τὸν θάνατον (cum BC; A om) -- θέλων (cum AB; C om) -- καὶ (C ἡ) οὐαὶ -- ὁ Σατὰν (C ὁ Σατανᾶς) -- ἐνήργησα (cum AB; C ἐνέργησα) -- χολὴν (cum BC; A χολῇ) -- ἑτοιμάσθητι (cum BC; A ἑταμασθῆναι) -- αὐτὸν (A αὐτοῦ) ἰσχυρά (A -ρᾶ, item ut videtur C) cum ABC.

3. Ἀπεκρίθη ὁ Ἅδης -- πολλοὺς οὓς σὺ ἑτοίμασας (οὓς [praecedente -λού] desideratur in codicibus, ita ut ἑτοιμάσας pro nominativo absoluto haberi possit. In A vero codice ἑτοίμασας, non ἑτοιμάσας legitur, neglecto ut saepe fit augmento. Apud Thilonem est πολλοὺς σὺ ἑτοιμάσας.) -- τούτους αὐτὸς (B ante λόγῳ ponit) -- εἰ (A om) -- ὀνόματι Λάζαρον (C -ζαρος) -- τὴν κοιλίαν μου (cum AB; C τῇ κοιλίᾳ μου) -- ἀγάγῃς (C ἀγάγεις) αὐτ. ἐνταῦθα (cum

λέγω, μὰ τὸ σκότος ὃ ἔχομεν, εἰ ὧδε ἀγάγῃς αὐτόν, οὐδείς μοι τῶν νεκρῶν ἐναπολειφθήσεται.

## Caput V. (XXI.)

[1] Τοιαῦτα τοῦ Σατανᾶ καὶ τοῦ Ἄδου λεγόντων πρὸς ἀλλήλους ἐγένετο φωνὴ μεγάλη ὥσπερ βροντὴ λέγουσα Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. ἀκούσας ὁ Ἅδης λέγει τῷ Σατανᾷ Ἔξελθε, εἰ δυνατὸς εἶ, καὶ ἀντίστηθι αὐτῷ. ἐξῆλθεν οὖν ἔξω ὁ Σατάν. εἶτα λέγει ὁ Ἅδης τοῖς δαίμοσιν αὐτοῦ Ἀσφαλίσασθε καλῶς καὶ ἰσχυρῶς τὰς πύλας τὰς χαλκᾶς καὶ τοὺς μοχλοὺς τοὺς σιδηροῦς, καὶ τὰ κλεῖθρά μου κατέχετε, καὶ σκοπεῖτε πάντα ἱστάμενοι ὄρθιοι· ἐὰν γὰρ εἰσέλθῃ αὐτὸς ὧδε, οὐαὶ ἡμᾶς λήψεται.

[2] Ταῦτα ἀκούσαντες οἱ προπάτορες ἤρξαντο πάντες ὑβρίζειν αὐτὸν λέγοντες Παμφάγε καὶ ἀκόρεστε, ἄνοιξον ὅπως εἰσέλθῃ ὁ βασιλεὺς τῆς δόξης. λέγει Δαυὶδ ὁ προφήτης Οὐκ οἶδας, τυφλέ, ὅτι ἐν τῷ κόσμῳ ἐγὼ ζῶν τὴν τοιαύτην φωνήν, τὸ Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, προεφήτευσα; Ἡσαΐας εἶπεν Ἐγὼ τοῦτο προϊδὼν ὑφ᾽ ἁγίου πνεύματος ἔγραψα Ἀναστήσονται οἱ νεκροί, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ. καὶ Ποῦ σου, Θάνατε, τὸ κέντρον; ποῦ σου, Ἅδη, τὸ νῖκος;

[3] Ἦλθεν οὖν πάλιν φωνὴ Ἄρατε πύλας λέγουσα. ἀκούσας ὁ Ἅδης ἐκ δευτέρου τὴν φωνὴν ἀπεκρίθη ὡς δῆθεν μὴ γινώσκων καὶ λέγει Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; λέγουσιν οἱ ἄγγελοι τοῦ δεσπότου Κύριος κραταιὸς καὶ δυνατός, κύριος δυνατὸς

---

AC; B ἐντεῦθεν) - - ἀναστῆσαι (cum AC; B ἀναστῆναι) - - ἀγάγῃς (AC ἀγάγεις) - - ἐναπολειφθήσεται cum ABC.

V, 1. Τοιαῦτα (cum AC; B Ταῦτα) - - ἔξω ὁ Σατάν (C ὁ Σατανᾶς) - - Ἀσφαλίσασθε (cum AC; B -λίσατε) καλ. καὶ (cum B; AC om) ἰσχυρῶς (ita AB; C -ρᾶς) - - σκοπεῖτε πάντα (A πάντας, BC πάντες) ἱστ. ὄρθιοι (cum A; BC ὄρθριοι) - - λήψεται cum ABC.

2. Ταῦτα - - ἀκόρεστε (B solus add Ἅδη) - - οἱ ἐν τοῖς μνημ. καὶ εὐφρανθ. οἱ ἐν (B ab οἱ ἐν priore ad οἱ ἐν posterius transilit) - - τὸ νῖκος cum ABC.

3. Ἦλθεν - - τοῦ (C om) δεσπότου - - ἐφωτίσθησαν cum ABC.

ἐν πολέμῳ. καὶ εὐθέως ἅμα τῷ λόγῳ τούτῳ αἱ χαλκαῖ πύλαι συνετρίβησαν καὶ οἱ σιδηροῖ μοχλοὶ συνεθλάσθησαν, καὶ οἱ δεδεμένοι πάντες νεκροὶ ἐλύθησαν τῶν δεσμῶν, καὶ ἡμεῖς μετ' αὐτῶν. καὶ εἰσῆλθεν ὁ βασιλεὺς τῆς δόξης ὥσπερ ἄνθρωπος, καὶ πάντα τὰ σκοτεινὰ τοῦ ᾅδου ἐφωτίσθησαν.

## Caput VI. (XXII.)

[1] Εὐθὺς ἐβόησεν ὁ Ἅδης Ἐνικήθημεν, οὐαὶ ἡμῖν. ἀλλὰ τίς εἶ ὁ ἔχων τοσαύτην ἐξουσίαν καὶ δύναμιν; καὶ ποῖος εἶ ὁ χωρὶς ἁμαρτίας ὧδε ἐλθών, ὁ μικρὸς ὁρώμενος καὶ μεγάλα δυνάμενος, ὁ ταπεινὸς καὶ ὑψηλός, ὁ δοῦλος καὶ ὁ δεσπότης, ὁ στρατιώτης καὶ βασιλεύς, ὁ τῶν νεκρῶν καὶ τῶν ζώντων ἐξουσιάζων; ἐν τῷ σταυρῷ προσηλώθης καὶ ἐν τῷ τάφῳ ἐτέθης, καὶ ἄρτι ἐγένου ἐλεύθερος καὶ κατέλυσας πᾶσαν τὴν δύναμιν ἡμῶν. ἆρα σὺ εἶ ὁ Ἰησοῦς, περὶ οὗ ἔλεγεν ἡμῖν ὁ ἀρχισατράπης Σατὰν ὅτι διὰ σταυροῦ καὶ θανάτου μέλλεις κληρονομῆσαι ὅλον τὸν κόσμον;

[2] Τότε ὁ βασιλεὺς τῆς δόξης κρατήσας ἐκ τῆς κορυφῆς τὸν ἀρχισατράπην Σατὰν καὶ παραδοὺς αὐτὸν τοῖς ἀγγέλοις εἶπε Σιδηροῖς καταδεσμήσατε τὰς χεῖρας καὶ τοὺς πόδας καὶ τὸν τράχηλον καὶ τὸ στόμα αὐτοῦ. εἶτα παραδοὺς τοῦτον τῷ Ἅδῃ ἔφη Λαβὼν αὐτὸν κάτεχε ἀσφαλῶς ἄχρι τῆς δευτέρας μου παρουσίας.

## Caput VII. (XXIII.)

Καὶ ὁ Ἅδης παραλαβὼν τὸν Σατανᾶν ἔλεγεν αὐτῷ Βεελζεβούλ, κληρονόμε τοῦ πυρὸς καὶ τῆς κολάσεως, ἐχθρὲ τῶν ἁγίων, διὰ ποίαν ἀνάγκην ᾠκονόμησας σταυρωθῆναι τὸν βασιλέα τῆς

VI, 1. Εὐθὺς (cum AC; B Καὶ εὐθύς) -- ἁμαρτίας (cum AB; C ἁμαρτιῶν) -- καὶ ὁ (cum AC; B om) δεσπότης -- καὶ τῶν (cum BC; A om) ζώντων -- καὶ ἐν τῷ τ. ἐ. κ. ἄ. ἐ. ἐλεύθερος (haec omnia cum AC; B om) -- ὁ (cum BC; A om) Ἰησοῦς (cum AB; C κύριος) -- Σατὰν (cum BC; A Σατανᾶς) -- ὅλ. τ. κόσμον cum ABC.

2. Τότε -- παραδοὺς (C παραδῶν) αὐτὸν -- Σιδηροῖς (ita ABC; nullus eorum additum habet δεσμοῖς, quod excidisse videtur) -- παρουσίας cum ABC.

VII. Καὶ ὁ Ἅδης -- Σατανᾶν (cum AC; B Σατὰν) -- Βεελζεβούλ (A ἐβελζεβούλ) κλ. τοῦ πυρὸς (cum B; sed A σκότους, C σκότου) -- ᾠκονόμησας

δόξης εἰς τὸ ἐλθεῖν ὧδε καὶ ἐκδῦσαι ἡμᾶς; ἐπιστρέφου καὶ ἴδε ὅτι οὐδεὶς νεκρὸς ἐν ἐμοὶ κατελείφθη, ἀλλὰ πάντα ὅσα ἐκέρδησας διὰ τοῦ ξύλου τῆς γνώσεως, διὰ τοῦ ξύλου τοῦ σταυροῦ πάντα ἀπώλεσας· καὶ πᾶσά σου ἡ χαρὰ μετηνέχθη εἰς λύπην· καὶ τὸν βασιλέα τῆς δόξης θέλων θανατῶσαι, σεαυτὸν ἐθανάτωσας. ἐπεὶ γὰρ παρέλαβόν σε ὥστε κατέχειν ἀσφαλῶς, ἐν πείρᾳ μαθήσῃ ὅσα κακὰ πρὸς σὲ διαπράξομαι. ὦ ἀρχιδιάβολε, ἡ τοῦ θανάτου ἀρχή, ἡ ῥίζα τῆς ἁμαρτίας, τὸ τέλος παντὸς κακοῦ, τί κακὸν εὑρὼν εἰς τὸν Ἰησοῦν ἐγύρευσας τὴν ἀπώλειαν αὐτοῦ; πῶς ἐτόλμησας τοσοῦτον κακὸν ποιῆσαι; πῶς τοιοῦτον ἄνθρωπον ἐν τῷ σκότει τούτῳ καταγαγεῖν ἐμελέτησας, δι' οὗ πάντας τοὺς ἀπ' αἰῶνος θανόντας ἐστερήθης;

## Caput VIII. (XXIV.)

[1] Οὕτω τοῦ Ἅδου διαλεγομένου τῷ Σατανᾷ ἥπλωσεν ὁ βασιλεὺς τῆς δόξης τὴν δεξιὰν αὐτοῦ χεῖρα καὶ ἐκράτησε καὶ ἤγειρε τὸν προπάτορα Ἀδάμ. εἶτα στραφεὶς καὶ πρὸς τοὺς λοιποὺς ἔφη Δεῦρο μετ' ἐμοῦ πάντες ὅσοι διὰ τοῦ ξύλου οὗ ἥψατο οὗτος ἐθανατώθητε· πάλιν γὰρ ὑμᾶς διὰ ξύλου τοῦ σταυροῦ πάντας ἐγὼ ἰδοὺ ἀνιστῶν. πρὸς ταῦτα ἐξέβαλεν ἅπαντας ἔξω, καὶ ὁ προπάτωρ Ἀδὰμ θυμηδίας ἔμπλεως ὀφθεὶς Εὐχαριστῶ τῇ μεγαλωσύνῃ σου κύριε, ἔλεγεν, ὅτι ἀνήγαγές με ἐξ ᾅδου κατωτάτου. οὕτω δὲ καὶ πάντες οἱ προφῆται καὶ οἱ ἅγιοι εἶπον Εὐχαριστοῦμέν σοι Χριστέ, σωτὴρ τοῦ κόσμου, ὅτι ἀνήγαγες ἐκ τῆς φθορᾶς τὴν ζωὴν ἡμῶν.

[2] Καὶ ταῦτα εἰπόντων εὐλογήσας ὁ σωτὴρ τὸν Ἀδὰμ κατὰ τὸ μέτωπον ἐν τῷ σημείῳ τοῦ σταυροῦ· τοῦτο δὲ ποιήσας καὶ

(cum BC; A ὀνομήσας sic) - - εἰς (cum A; C om, B ἢ sive ἡ) - - ἐκδῦσαι (A -ύσαι) ἡμ. ἐπιστρέφου (ABC -στράφου) - - κατελείφθη (cum A; BC -λήφθη) - - ἀπώλεσας (A ἀπόλεσας) - - σεαυτὸν (cum BC; A σαυτὸν) ἐθανάτωσας - - εἰς τὸν Ἰησοῦν (cum AC; B add καὶ) ἐγύρευσας (cum A*; B ἐγύρευσες, C ἐγηρεύσης, A** ἐγύρευες) - - σκότει (cum A; BC σκότῳ) τ. καταγαγεῖν (cum BC; A κατάγειν) - - θανόντας (C ut videtur θανέντας) ἐστερήθης cum ABC.

VIII, 1. Οὕτω τοῦ Ἅδου - - διὰ (cum AC; B add τοῦ) ξύλου τοῦ σταυροῦ - - ἀνιστῶν (cum A; BC ἀνιστῶ) - - τὴν ζωὴν ἡμῶν cum ABC.

2. Καὶ ταῦτα - - κατὰ τὸ μέτωπον (cum AC; B ἐν τῷ μετώπῳ) ἐν (cum AC; B om) τῷ σημείῳ - - πρ. τ. πατριάρχας κ. προφ. κ. μάρτυρ. κ. (C add

πρὸς τοὺς πατριάρχας καὶ προφήτας καὶ μάρτυρας καὶ προπάτορας, καὶ τούτους λαβὼν ἐκ τοῦ ᾅδου ἀνέθορε. πορευομένου δὲ αὐτοῦ ἔψαλλον οἱ ἅγιοι πατέρες ἀκολουθοῦντες αὐτῷ λέγοντες Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου· ἀλληλούια· αὐτῷ ἡ δόξα τῶν ἁγίων πάντων.

## CAPUT IX. (XXV.)

Πορευόμενος οὖν εἰς τὸν παράδεισον κρατῶν καὶ τὸν προπάτορα Ἀδὰμ ἀπὸ τῆς χειρὸς παραδέδωκε τοῦτον τῷ ἀρχαγγέλῳ Μιχαὴλ καὶ πάντας τοὺς δικαίους. εἰσερχομένων οὖν αὐτῶν τὴν θύραν τοῦ παραδείσου συνήντησαν αὐτοῖς δύο πρεσβῦται ἄνθρωποι, πρὸς οὓς οἱ ἅγιοι πατέρες εἶπον Τίνες ἐστὲ ὑμεῖς, οἵτινες θάνατον οὐκ εἴδετε καὶ ἐν τῷ ᾅδῃ οὐ κατήλθετε, ἀλλ' ἐν τοῖς σώμασι καὶ ταῖς ψυχαῖς οἰκεῖτε εἰς τὸν παράδεισον; εἷς ἐξ αὐτῶν ἀποκριθεὶς εἶπεν Ἐγώ εἰμι Ἐνὼχ ὁ εὐαρεστήσας θεῷ καὶ ὧδε μετατεθεὶς παρ' αὐτοῦ, καὶ οὗτός ἐστιν Ἡλίας ὁ Θεσβίτης, οἳ καὶ μέλλομεν ζῆσαι μέχρι τῆς συντελείας τοῦ αἰῶνος· τότε δὲ μέλλομεν ἀποσταλῆναι παρὰ θεοῦ ἐπὶ τῷ ἀντιστῆναι τῷ ἀντιχρίστῳ καὶ ἀποκτανθῆναι παρ' αὐτοῦ, καὶ μετὰ τρεῖς ἡμέρας ἀναστῆναι καὶ ἐν νεφέλαις ἁρπαγῆναι πρὸς τὴν τοῦ κυρίου ὑπάντησιν.

## CAPUT X. (XXVI.)

Ταῦτα τούτων λεγόντων ἦλθεν ἕτερος ταπεινὸς ἄνθρωπος, βαστάζων ἐπὶ τῶν ὤμων αὐτοῦ καὶ σταυρόν· πρὸς ὃν ἔφησαν οἱ ἅγιοι πατέρες Τίς εἶ σὺ ὁ θεωρίαν ἔχων ληστοῦ, καὶ τίς ὃν ἐπιφέρεις ἐπὶ τῶν ὤμων σταυρόν; ἀπεκρίθη οὗτος Ἐγὼ καθὼς ὑμεῖς φατὲ ληστὴς ἦν καὶ κλέπτης ἐν τῷ κόσμῳ, καὶ διὰ ταῦτα κρατήσαντές με οἱ Ἰουδαῖοι σταυροῦ θανάτῳ παραδεδώ-

---

τούς) προπάτορας (haec cum B; C om καὶ μάρτυρας; A habet πρ. τ. προπάτορας, omissis πατριάρχ. usque κ. μάρτ. καί) - - λέγοντες (cum B; AC om) - - ἀλληλούια (A -ία)· αὐτῷ (cum AC; B αὕτη) - - πάντων cum ABC.

IX. Πορευόμενος - - ἀπὸ (cum AC; B ἐκ) τῆς χειρὸς - - καὶ ὧδε (cum AC; B om) μετατεθεὶς - - ὑπάντησιν (cum AC; B ἀπάντησιν) cum ABC.

X. Ταῦτα τούτων - - ἐπὶ (C om) σταυροῦ τοίνυν - - γενόμενα (cum AB;

κασιν ἅμα τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ. ἐπὶ σταυροῦ τοίνυν κρεμαμένου αὐτοῦ, ἰδὼν τὰ γενόμενα σημεῖα ἐπίστευσα εἰς αὐτόν, καὶ παρεκάλεσα αὐτὸν καὶ εἶπον Κύριε, ὅτε βασιλεύσεις, μή μου ἐπιλάθῃ. καὶ εὐθὺς εἶπέν μοι ὅτι ἀμὴν ἀμὴν σήμερον λέγω σοι, μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. βαστάζων οὖν τὸν σταυρόν μου ἦλθον εἰς τὸν παράδεισον, καὶ εὑρὼν τὸν ἀρχάγγελον Μιχαὴλ εἶπον αὐτῷ Ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ ἐσταυρωμένος ὧδέ με ἀπέστειλεν· ἄγαγόν με τοίνυν ἐν τῇ πύλῃ τῆς Ἐδέμ. καὶ ἰδοῦσα ἡ φλογίνη ῥομφαία τὸ σημεῖον τοῦ σταυροῦ ἤνοιξέ μοι, καὶ εἰσῆλθον. εἶτά φησι πρὸς ἐμὲ ὁ ἀρχάγγελος Περίμεινον μικρόν, ὅτι ἔρχεται καὶ ὁ προπάτωρ τοῦ γένους τῶν ἀνθρώπων Ἀδὰμ μετὰ τῶν δικαίων, ἵνα εἰσέλθωσι καὶ αὐτοὶ ἐντός. καὶ νῦν ἰδὼν ὑμᾶς ἦλθον εἰς ἀπάντησιν ὑμῶν.

Ταῦτα ἀκούσαντες οἱ ἅγιοι ἐβόησαν μεγάλῃ φωνῇ πάντες Μέγας ὁ κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ.

## Caput XI. (XXVII.)

Ταῦτα πάντα εἴδομεν καὶ ἠκούσαμεν ἡμεῖς οἱ δύο αὐτάδελφοι, οἳ καὶ ἀπεστάλημεν παρὰ Μιχαὴλ τοῦ ἀρχαγγέλου καὶ ἐτάχθημεν κηρῦξαι τὴν τοῦ κυρίου ἀνάστασιν, πρότερον δὲ ἀπελθεῖν ἐν τῷ Ἰορδάνῃ καὶ βαπτισθῆναι. ὅπου καὶ ἀπελθόντες ἐβαπτίσθημεν μετὰ καὶ ἄλλων ἀναστάντων νεκρῶν· εἶτα καὶ εἰς Ἱεροσόλυμα ἤλθομεν καὶ ἐτελέσαμεν τὸ πάσχα τῆς ἀναστάσεως. νῦν δὲ μὴ δυνάμενοι ἐνταῦθα διάγειν ἀπερχόμεθα. καὶ ἡ ἀγάπη τοῦ θεοῦ καὶ πατρὸς καὶ ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος εἴη μετὰ πάντων ὑμῶν.

---

C γινόμενα) - - ὅτε βασιλεύσεις (cum A; BC ὅτε βασιλεύσῃς) - - Ὁ κύρ. ἡμ. Ἰησοῦς (cum BC; A add Χριστὸς) - - ἄγαγόν (ita ABC) με - - τῆς Ἐδέμ (C Ἐδέν) - - Περίμεινον μικρόν (cum AB; C νῦν καιρόν) - - μεγάλῃ φωνῇ (cum BC; A φων. μεγάλ.) - - ἡ ἰσχὺς αὐτοῦ cum ABC.

XI Ταῦτα πάντα εἴδομεν (cum AB; C ἴδομεν) - - κηρῦξαι (codd. -ύ-) - - τοῦ θεοῦ καὶ πατρὸς (cum ACD; B om θεοῦ καὶ) - - ἡ κοινωνία (de coniectura addidimus; ABCD non habent) τοῦ ἁγίου (cum AC; BD παναγίου) πν. - - ὑμῶν (D ἡμῶν) cum ABC (D codicem inde a verbis εἶτα καὶ εἰς exscripsimus).

Ταῦτα γράψαντες καὶ ἀσφαλισάμενοι τὰ βιβλία, ἔδωκαν τὰ ἡμίση τοῖς ἀρχιερεῦσιν καὶ τὰ ἡμίση τῷ Ἰωσὴφ καὶ τῷ Νικοδήμῳ· καὶ αὐτοὶ παραυτίκα ἐγένοντο ἄφαντοι, εἰς δόξαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀμήν.

---

Ταῦτα γράψαντες - - τὰ ἡμίση τοῖς ἀρχ. καὶ (haec C male om) τὰ ἡμίση (ita utroque loco A; B τὰ ὕμισιν, C ὕμισι) - - ἀμήν (cum C et [nisi quod ter repetitum habet] D; sed pro eo B ᾧ ἡ δόξα εἰς αἰῶνας τῶν αἰώνων, item A αὐτῷ δόξα πρέπει νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.) cum ABCD.

# ΑΝΑΦΟΡΑ ΠΙΛΑΤΟΥ

## ΗΓΕΜΟΝΟΣ ΠΕΡΙ ΤΟΥ ΔΕΣΠΟΤΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ ΠΕΜΦΘΕΙΣΑ ΑΥΓΟΥΣΤΩ ΚΑΙΣΑΡΙ ΕΝ ΤΗ ΡΩΜΗ.

Ἐν ἐκείναις ταῖς ἡμέραις σταυρωθέντος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπὶ Ποντίου Πιλάτου ἡγεμόνος τῆς Παλαιστίνης καὶ τῆς Φοινίκης ταῦτα ἐν Ἱεροσολύμοις γέγονεν τὰ ὑπομνήματα τὰ κατὰ τοῦ κυρίου πραχθέντα ὑπὸ τῶν Ἰουδαίων. ὁ οὖν Πιλᾶτος μετ' οἰκείας αὐτοῦ ἀναφορᾶς ἐξέπεμψεν αὐτὰ τῷ Καίσαρι ἐν τῇ Ῥώμῃ γράψας οὕτως·

Κρατίστῳ σεβαστῷ θειοτάτῳ καὶ φοβερωτάτῳ Αὐγούστῳ Καίσαρι Πιλᾶτος ὁ τὴν ἀνατολικὴν διέπων ἀρχήν.

---

* Ita titulum habent CDE .. A Ἀναφ. Πιλ. τοῦ ἡγ. πε. τ. κυρίου ἡμ. Ἰ. Χρ. π. Τιβερίῳ Καίσ. ἐν Ῥ. .. B praemissis Actis quae dicuntur Pilati sic habet Ὑπομνήματα πραγχέντα (corrige πραχθ.) περὶ τοῦ κυρίου ἡμῶν Ἰησ. Χρ. ἐπὶ Ποντίου Πιλάτου τοῦ ἡγεμόνος τῆς Ἰουδαίας, ἅπερ αὐτὸς ὁ Πιλᾶτος ἐξέπεμψεν διὰ ἰδίας ἀναφορᾶς Αὐγούστῳ Καίσαρι ἐν τῇ Ῥώμῃ. Sequitur illa temporis nota quam vidimus supra pag. 204 sq. (sub cod. E) Ἐν ἔτει usque γράμμασιν ἑβραϊκοῖς.

Ἐν (E praem Ἐγένετο) -- ἡγεμόνος (A τοῦ ἡγ.) -- γέγονεν (A γεγόνασι) τὰ ὑπομν. (CD om) -- ὑπὸ τ. Ἰουδ. cum ACDE .. B ἐν ταῖς ἡμ. ἐκείν. σταυρ. τοῦ Ἰησοῦ, καὶ Ποντίου Πιλ. ἡγεμονεύοντος τῆς τε Παλ. κ τ. Φοιν. (ista omnia prioribus annexa habet) Ταῦτα (cod. ταύτης) δὲ ἐν Ἱεροσ. γέγονε τὰ ὑπομν. τὰ πραχθέντα κατὰ τοῦ Ἰησοῦ παρὰ τῶν Ἰουδ. | ὁ οὖν (A δὲ) Πιλ. μετ' οἰκείας (Fabr. edidit μετοικίας „*Sed et Pilatus ex provincia sua scripto retulit Romam*" etc. Correxit Thilo μετ' οἰκίας „*cum domo sua*," „*cum domesticis suis*") αὐτ. ἀναφορᾶς (A -φὰν) ἐξέπ. αὐτὰ (A αὐτοῦ, Fabr αὐτῷ) τῷ Καίσ. etc. B sic: [ἃ] δι' ἀναφορᾶς ἰδίας ἀνέπεμψεν Αὐγούστῳ Καίσαρι ἐν τ. Ῥ. γρ. οὕτως ὁ Πιλᾶτος.

Κρατίστῳ .. B om | A om θειοτάτ. | καὶ (E om) φοβερωτάτῳ .. B φοβερῷ | Αὐγούστῳ cum CDE .. B Τιβερίῳ Αὐγούστῳ, A Τιβερίῳ | ὁ τ. ἀνατ. διέ. ἀρχὴν (A ἐπαρχίαν) cum CDEA .. B ἀνατολῆς τελωνάρχης

[1] Μηνύσει κέχρημαι δι' ἧς φόβῳ καὶ τρόμῳ συνέχομαι, κράτιστε. Ἐν ταύτῃ γὰρ ἥνπερ διέπω ἐπαρχίαν, ἥτις μία τῶν πόλεων καλεῖται Ἱερουσαλήμ, ἅπαν τὸ πλῆθος τῶν Ἰουδαίων παρέδωκάν μοι ἄνθρωπόν τινα λεγόμενον Ἰησοῦν, πολλὰ ἐγκλήματα ἐπιφερόμενοι κατ' αὐτοῦ, ἅπερ οὐκ ἠδυνήθησαν τῶν λόγων τῇ συστάσει διελέγξαι. Μία δέ τις αὐτοῖς αἵρεσις ἦν κατ' αὐτοῦ, ὅτι τὸ σάββατον αὐτοῖς ἔλεγεν ὁ Ἰησοῦς μὴ εἶναι σχολὴν ἢ παρατηρεῖσθαι. πολλὰς γὰρ ἰάσεις ἐπετέλεσεν ἐν αὐτῇ τῇ ἡμέρᾳ. τυφλοὺς ἐποίησεν ἀναβλέπειν, χωλοὺς περιπατεῖν, νεκροὺς ἀνέστησεν, λεπροὺς ἐκαθέρισεν, παραλυτικοὺς ἰάσατο, μὴ δυναμένους τὸ σύνολον μήτε ὁρμὴν τοῦ σώματος μήτε νεύρων στάσιν ἔχειν εἰ μὴ μόνον φωνὴν καὶ ἁρμονίαν, καὶ παρέσχεν αὐτοῖς δύναμιν τοῦ περιπατεῖν καὶ τρέχειν, ῥήματι μόνῳ τὸ

---

1. Μηνύσει cum BCE .. D μηνῆσαι, A μηνύειν | δι' ἧς -- συνέχομαι cum CD .. E δι' ἧς φόβος καὶ τρόμος ἔχει με .. A διὰ τῆσδε φόβῳ κ. τρόμῳ συνεχόμενος .. B τρόμω συνεχόμενος (sed in codice scriptum est τρομοσῆν ἐχόμενος) | κράτιστε (A add βασιλεῦ). Sequitur in codd. CD τῇ (D τὴν) τῶν ἐπισταμένων καὶ ῥοπῇ τοῦτο τε καιρὸν (D τῶν τότε καιρῶν) δέοντα λαβὼν τόν γε λεῖον (D λίαν) χρόνον δείκνυσιν: quae corruptissima esse apparet. Nec fere aliter in E videtur scriptum esse, unde haec tantum adnotavimus: τῇ τῶν ἐπισταμένων ῥοπῇ τὸν τότε καιρὸν δέοντα. Ex A Fabricius sic edidit: τὴν τῶν ἐπενισταμένων καιρῶν ῥοπὴν ἐκ τῶν ἃ ἐπέσονται λαβὼν τῶν τε λοιπῶν χρονῶν ἐνδείκνυσιν, addita hac interpretatione: *quid nuperi temporis impetus tulerit, et iam colligo inde quid deinceps postea sit futurum.* Omnino simile quid coniiciendum est. Cf. etiam alterum textum, ibique codd. CE. Codex vero B eum locum plane omittit. | Ἐν ταύτῃ γ. ἥνπερ (ita AC; D ἣν) -- καλεῖται (ita CD; A κέκληται) -- μοι (A add ἕνα) ἄνθρ. τινα (C τιν. ἄνθρ.) λεγ. Ἰησ. cum CDA .. B Μία τῶν ὑπ' ἐμοῦ διοικουμένων πόλεων κέκληται Ἱερουσαλήμ, ἐν ᾗ (cod. ῷ) πᾶν τὸ πλῆθ. τῶν Ἰουδ. κατοικοῖ· οὗτοι παρέδωκάν μοί τινα ἄνθρ., Ἰησοῦν τῷ ὀνόματι | D φερόμενοι, omisso κατ' αὐτοῦ (A ante ἐπιφερ. pon) .. B φέροντες et κατ' αὐτόν | τῶν λόγ. τῇ συστ. (A τ. συστ. τ. λόγ.) cum CA; item B τὴν σύστασιν τ. λόγ. .. D τὸν λόγον τοῖς σύμπασι | B οὐκ ἴσχυσαν διελέγξ. | τις (ita CD; B της, A τοις) αὐτοῖς (ita AD, B αὐτης, C om) αἵρ. ἦν (B corrupte ἐρέσεως. D add αὐτῶν) | αὐτοῖς ἔλεγ. ὁ Ἰησ. (ita AD; C om) μὴ εἶν. (D add ὀρθὴν) σχολ. ἢ (A om; Fabr. edidit μὴ ἐν σχολῇ) παρατ. cum ACD .. B οὐ τηρεῖ μηδὲ σχολὴν εἶναι ἀγαθῶν ἔργων | πολλ. γὰρ (ita ACD; B δὲ) ἰάσ. ἐπετέλεσεν (ita ACD; B ἀπετέλει ἀγαθῶν ἔργων) ἐν (ita CD, A om; B om ἐν αὐτῇ) αὐτ. τῇ ἡμέρᾳ (B add τοῦ σαββάτου) | ἐποί. ἀναβλέπ. (D βλέπειν) .. B ἀνέβλεπεν (sed postea περιπατεῖν) | λεπρ. ἐκαθέρισεν (A ἐκαθάρισεν?) cum CDA .. B om | B παραλύτους | μὴ δυν. τὸ σύνολον (ita ACD; B τὸ σῶμα κινῆσαι) μ. ὁρμ. τ. σώμ. μήτε (B ἢ τῶν) νεύρ. στ. ἔχειν (A ἔχοντας) εἰ μὴ μόνον (B μόνην) φωνὴν καὶ (B om φ. κ.) ἁρμονίαν (ita AB; CD -νίας) | παρέσχεν cum CD .. AB παρεῖχεν | δύν. τοῦ περ. κ. τρέχ. cum ACD .. B τὸ περιπατεῖν | τὸ ἀσθ. ἀποστρ. cum B

ἀσθενὲς ἀποστρέψας. ἄλλο πάλιν τι δυνατώτερον πρᾶγμα, ὅπερ ἐστὶν παρὰ τοῖς παρ᾽ ἡμῖν θεοῖς ξένον· τετραήμερον νεκρὸν ἀνέστησεν, λόγῳ μόνῳ καλέσας αὐτόν, τοῦ τεθνεῶτος τὸν ἰχῶρα ἔχοντος, καὶ διαφθαρέντος ἐκ τῶν γενομένων σκωλήκων τοῦ σώματος αὐτοῦ καὶ τὸ δυσῶδες τοῦ κυνὸς ἔχοντος· ὃν ἰδὼν ἐν τῷ τάφῳ κείμενον ἐκέλευσεν τρέχειν, μήτε ὅλως νεκροῦ τι ἔχοντος, ἀλλ᾽ ὡς ἐκ παστοῦ νυμφίος οὕτως ἐξῆλθεν ἐκ τοῦ τάφου εὐωδίας πλείστης πεπλησμένος. [2] Καὶ ξένους σαφῶς δαιμονιζομένους καὶ τὴν οἴκησιν ἐν ἐρημίαις ἔχοντας καὶ σάρκας τρώγοντας τὰς ἰδίας, ὁμοίως τοῖς κτήνεσιν καὶ ἑρπετοῖς συναναστρεφομένους, καὶ τούτους κατέστησεν οἰκήτορας πόλεων καὶ διὰ λόγου σώφρονας ἀπέδειξεν, σοφούς τε καὶ δυνατοὺς καὶ ἐνδόξους παρεσκεύασεν γενέσθαι, συνεσθίοντας πᾶσιν τοῖς πολεμίοις τῶν πνευμάτων τῶν ἀκαθάρτων τῶν ἐν αὐτοῖς ὄντων ὀλεθρίων, ἃ βυθῷ θαλάσσης κατέρριψεν. [3] Πάλιν δὲ ἄλλος ὑπῆρχεν ξηρὰν ἔχων

---

ACD τῷ ἀσθενεῖ ἐπιτρέψας | ἄλλο cum D, item B (ἀλλ ὅτε δέ τι δυν.) .. AC ἀλλά | B om τοῖς παρ᾽ ἡμ. | B τεταρταῖον ἀναστήσας | λόγῳ -- διαφθαρέντος (cod. -τας) -- κυνὸς (cod. κυνοῦ) ἔχοντος (cod. -τας) cum B .. ACD λόγῳ (A ἐν λόγ.) μόνῳ (A μόνον) καλέσας αὐτοῦ (sed D αὐτόν) τοῦ τεθνεῶτος (A τεθνηκότος) τὸ ὄνομα, καὶ αὐτὸν τὸν ἰχῶρα διαφθαρέντα (A corrupte καὶ αὐτὸν οὗ ἰχὼρ διέφθειρεν) ὑπὸ τῶν σκωλήκων καὶ τὸ δυσῶδες τοῦ κυνὸς (CD κοινοῦ) ἔχοντος | ἐν: ita A (nisi est Fabricii additamentum) .. BCD om | ἐκέλευσ. τρέχ. cum ACD .. B τοῦτον λόγῳ ἀνέστησεν καὶ τρέχειν ἐκέλευσεν | B om μήτε ὅλ. -- ἔχοντος (A -τα, nisi est editoris emendatio) | ἀλλ᾽ ὡς .. B καὶ ὡς | A (teste Fabr.) νυμφῶνος et ἐπῆλθεν | B ἐξελθόντα | B εὐ. πλ. πεπληρωμένος .. A εὐωδίαν πλείστην κεκτημένος

2. Καὶ ξέν. σαφ. (A καὶ κωφούς pro σαφ.) δαιμ. cum CD, item A .. B καὶ ξένον εἶπεν ἕτερον· τινὰς δαιμονιζ. πονηρῶς (cod. -ρός) | καὶ τὴν (A τοὺς) οἴκησ. (B κατοίκ.) | καὶ σάρκας (ita CD) τρώγ. τὰς ἰδίας (C τὴν ἰδίαν) cum CD .. A καὶ σάρκα τρέφοντας (vide post) .. B (om καὶ) σαρκοτρόφους τῶν ἰδίων ὄντας τοὺς κάμνοντας | ὁμοίως τοῖς -- συναναστρεφ. (C συνανατρεφ.) cum DC .. B καὶ ἑρπετῶν καὶ θηρίων συναναστρεφομένους ἐν ταῖς ὕλαις .. A τήν τ᾽ οὐσίαν (corrige τὴν ἰδίαν cum prioribus coniungendum) ὁμοίως τοῖς κτ. κ. ἑρπ. συνανατρέφ. | καὶ (A praem ὕλεους ὄντας) τούτους -- ἀπέδειξεν (A ἀνέδ., D ὑπέδ. αὐτούς) σοφ. τε (haec D om) -- παρεσκ. (A παρεκάλεσεν) γενέσθ. cum CDA .. B καὶ τούτ. διὰ λόγου σώφρονας ἀνέδειξεν, σοφούς τε καὶ συνετοὺς κατέστησεν καὶ ἐποίησεν οἰκήτορας πόλεων, καὶ ἐνδόξους γενέσθ. παρασκεύασεν (sic) | συνεσθ. πᾶσιν τοῖς (A παντάπασιν) πολεμίοις (A -μίους) τ. πν. τῶν (A om) ἀκ. τῶν (C om) -- ἃ (C βια) βυθ. θα. κατ. (A om ἃ β. θ. κ.) cum CA .. B καὶ τὰ πνεύματα ἀκάθαρτα ἐν αὐτοῖς ὀλέθρῳ δεινῷ κατορύξας βυθῷ θαλάσσης κατεπόντισεν

3. Πάλιν δὲ (A om) ἄλλ. ὑπῆρχ. (ita AB; C ὑπῆρξεν) -- χεῖραν (ita BC)

τὴν χεῖραν, οὐ μόνον δὲ τὴν χεῖραν, ἀλλὰ μᾶλλον τὸ ἥμισυ μέ-
ρος τοῦ σώματος ἀπολιθωθὲν ὑπῆρχεν τοῦ ἀνθρώπου, μήτε πλά-
σιν ἀνδρὸς ἢ σώματος ἔχων διαστολήν· κἀκεῖνον λόγῳ ἰάσατο καὶ
ὑγιῆ ἀπέδειξεν. 4 Καὶ γυναῖκα δὲ αἱμορροοῦσαν ἐπὶ πολλοὺς
χρόνους, ἀπὸ τῆς ῥύσεως τοῦ αἵματος τὰς ἁρμονίας καὶ τὰς
φλέβας ἐξαντληθεῖσαν καὶ μήτε τὸ ἀνθρώπινον σῶμα ἐπιφερομέ-
νην, νεκρῇ ἀπεικασμένην, ἄφωνον καθ' ἑκάστην οὖσαν, ὡς οἱ
ἐκ τῆς ἐνορίας πάντες ἰατροὶ οὐχ εὗρον θεραπεῦσαι· οὔτε γὰρ
μία τῆς ζωῆς ἐλπὶς αὐτῇ ὑπῆρχεν· καὶ μυστικῶς διερχομένου
τοῦ Ἰησοῦ ἰσχὺν λαβοῦσα διὰ τῆς ἐπισκιάσεως αὐτοῦ ὄπισθεν
ἥψατο τοῦ κρασπέδου αὐτοῦ, καὶ εὐθέως αὐτῇ τῇ ὥρᾳ ἀνέπλη-
σεν δύναμις τὰ κενώματα αὐτῆς, ὡς μηδέποτε πάθος πεπονθυῖα
ἤρξατο δρομαία τρέχειν εἰς τὴν ἑαυτῆς πόλιν Κεφαρναούμ, ὡς
πλησιάζειν τὴν πορείαν ἡμερῶν ἕξ.
5 Καὶ ταῦτα μέν, ἃ προσφάτως κατὰ νοῦν ἔχων ἐμήνυσα,
ἅπερ ἐν σαββάτῳ ἐτέλεσεν ὁ Ἰησοῦς· καὶ ἕτερα μείζονα τούτων
ἐποίησε σημεῖα, ὡς ὅτι καὶ παρὰ τοὺς θεοὺς οὓς σεβόμεθα μεί-
ζονα κατενόησα θαυματουργήματα παρ' αὐτοῦ γεγονότα.

---

οὐ μόν. δ. τ. χεῖραν cum B .. AC om | ἀλλὰ (A add καὶ) μᾶλλον τὸ ἥμισυ μέρος .. B corrupte ἀλλὰ πάντα ὕμησιν μέρος | ἔχων (C ἔχειν) διαστ. cum BC .. A ἔχειν ὡς λίαν στενήν | ἰάσατο κ. ὑγ. ἀπ. cum AC .. B ἰασάμενος παρέστησεν ὑγιῆ

4. Καὶ γυναῖκα δὲ αἱμορροοῦσαν (B -σα) cum BC .. A κ. γυνὴ δ. αἱμορροοῦσα | ἐπὶ (A om) πολλοὺς χρ. cum CA .. B ἐν πολλοῖς χρόνοις | ἀπὸ τ. ῥύσεως (A ῥεύσ) τ. αἵ. τὰς ἁρμονίας (A ἀρτηρίας) -- ἐξαντλ. (A ἀντλήσασα) cum CA .. B ὥστε αὐτῆς (corrige ἀπό) τῆς ῥύσεως τ. αἵ. αὐτῆς τῆς (τάς?) ἁρμονίας κ. φλέβας ἐξαντλῆσαι | καὶ μήτε (ita CA, B μηδέ) τὸ ἀνθρ. (B ἐπ' ἀνθρώποις) σ. ἐπιφερομένην (A -νη, B -νον) | νεκρῇ (A -κροῖς δὲ) ἀπεικασμένην (A -νη) .. B νεκρὴν ἀποκείμενον .. C om | ἄφ. -- οὖσαν cum C .. A ἄφωνός τε οὖσα .. B om | ὡς οἱ -- πάντες (A om) ἰα. οὐχ εὗρ. (A αὐτὴν οὐκ ἠδύναντο) θερ. (A ἰατρεῦσαι) cum C, item A .. B παντελῶς ἰατροὶ οὐκ ἴσχυσαν ταύτην τὴν ῥύσιν τοῦ αἵματος παῦσαι | οὔτε γ. μία (A σκιὰ) τ. ζ. ἐλπ. (A om) α. ὑπῆρχ. cum C, item A .. B vitiose μία τῆς αὐτῆς ζωῆς οὐκ ἐτύγχανεν | διὰ τῆς (C δι' αὐτῆς) ἐπισκιάσ. (C ἐπισκιάσαι) αὐτοῦ (B om αὐτ.) | B om τ. κρασπ. | κ. εὐθ. (A om) -- ἀνέπλησεν (AB ἀνεπλήρωσεν) τὰ κεν. αὐτ. (B τοὺς κενοὺς αὐτῆς τόπους) | ὡς μηδ. πάθ. (A παθοῦσα) πεπονθυῖα (B πεπονθοῦσα, A τῇ πεπονθείᾳ) ἤρξ. (AC καὶ ἤρξ.) δρομαία (AC -αίως) -- ἑαυτῆς (A αὐτῆς) π. Κεφαρναούμ (Κεφ. cum B, A Καφ.; C Καπερν.) -- τὴν (B om) -- ἕξ

5. ἃ (A ἅπερ) προσφάτως (A πρόσφατος) -- ἅπερ -- ἐποίησ. σημεῖα (haec omnia ab ἅπερ usque σημ. A om) cum C, item A .. B ἅπερ πρόσφατος ὁ νοῦς γεωργήσας ἐδήλωσεν, ἐν σαββ. ἐθαυματούργησεν· μείζω δὲ καὶ ἕτερα σημ. ἐποί. ὁ Ἰησ. | ὡς ὅτι (B om) καὶ (C om) παρὰ τ. θε. οὓς (BC om) σεβ.

6 Τοῦτον δὲ Ἡρώδης καὶ Ἀρχέλαος καὶ Φίλιππος, Ἄννας
καὶ Καϊάφας παρέδωκάν μοι σὺν παντὶ τῷ λαῷ, ἐπὶ τὸ τοῦτον
ἀνετάσαι πολλὴν ποιήσαντες κατ' ἐμοῦ στάσιν. ἐκέλευσα οὖν
τοῦτον σταυρωθῆναι, πρῶτον φραγελλώσας αὐτόν, καὶ μηδεμίαν
αἰτίαν εὑρὼν κατ' αὐτοῦ κακῶν ἐγκλημάτων ἢ πράξεων.
7 Ἅμα δὲ ἐσταυρώθη, σκότος ἐγένετο ἐφ' ὅλην τὴν οἰκου-
μένην, τοῦ ἡλίου μέσης ἡμέρας σκοτισθέντος καὶ τῶν ἀστέρων
φανέντων, ἐν οἷς λαμπηδὼν οὐκ ἐφαίνετο· σελήνη δὲ τὸ φέγγος
ὡς αἱματίζουσα διέλιπεν· κόσμος δὲ τῶν καταχθονίων κατεπόθη·
ὡς αὐτὸ ὅπερ εἶχον ἁγίασμα ναοῦ λεγόμενον αὐτοῖς τοῖς Ἰου-
δαίοις μὴ ὀφθῆναι τῇ τούτων πτώσει· χάσμα δὲ τῆς γῆς ἐπει-
λημμένων βροντῶν ἤχῳ κατεπίδοσαν. 8 Ὤφθησαν δὲ ἐν αὐτῷ
τῷ φόβῳ νεκροὶ ἀναστάντες, ὡς αὐτοὶ οἱ Ἰουδαῖοι ἐμαρτύρησαν,
καὶ εἶπον εἶναι Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ τοὺς δώδεκα
πατριάρχας καὶ Μωσῆν καὶ Ἰώβ, τοὺς προτετελευτηκότας ὥς
φασιν ἐκεῖνοι πρὸ τρισχιλίων πεντακοσίων ἐτῶν· καὶ πλεῖστοι

μείζονα (B μείζων [sic] τινὰ) κατ. θαυμ. παρ' αὐτ. γεγ. (B om π. α. γ.) cum ABC.

6. Τοῦτον δέ cum AC .. B Τοῦτ. οὖν | Ἡρώδης: B praem οἱ Ἰουδαῖοι καὶ Φίλιππ. cum B .. AC om καί | ἐπὶ τὸ τ. ἀνετάσαι (C ἀνατάξαι) cum BC .. A ἐπὶ τῇ τούτου ἀνετάσει | πολλὴν (B καὶ πολ.) ποιήσ. (B κινήσαντες) κ. ἐ. στάσιν (AB post πολλ.) | ἐκέλ. οὖν (ita ACD; B om) τοῦτ. (B τοῦ) σταυρ. πρ. (B add δὲ) φρ. αὐτ. | καὶ (ita CD; A om) μηδεμ. αἰτ. εὑρὼν (A εὗρον) -- πράξ. cum CDA .. B οὐδεμίαν δὲ εὑρὼν (εὗρον?) κατ' αὐτὸν ἐγκλημάτων πρᾶξιν

7. Ἅμα (B μόνον) δὲ -- μέσης (ita BCD; A μέσον τῆς) ἡμέρας σκ. καὶ τ. ἀστέρων (ita CD; A ἄστρων) -- ἐφαίνετο cum ACD .. B καὶ τὰ ἄστρα σωρηδὸν οὐκ ἔφεγγον | σελ. δέ cum BCD .. A ἡ δὲ σελ. | B ὥσπερ ἐν αἵματι οὖσα | B κόσμον δ. τ. κ. καταποθῦναι | ὡς αὐτὸ ὅπερ cum A .. BCD ὡσαύτως (C ὡς αὖτος) καὶ (B om) ὅπερ | αὐτοῖς τοῖς (A om; CD οἱ) Ἰουδαίοις (CD -αῖοι) μὴ ὀφθ. cum ACD .. B αὐτὸν Ἰουδαῖοι μὴ ὠφθῆναι (sic) | τῇ τούτων πτώσει (D -σιν) cum CD .. B τὴν αὐτοῦ πτῶσιν, A τῇ τούτου πτώσει (ita certe apud Fabr. et Bch.) | χάσμα δὲ (CD om) τῆς γῆς cum ACD .. B χάσματι γῇ | ἐπειλημμένων (ita CD, B om) βροντῶν ἤχῳ (CD ἤδη ἦχος, B ἤδει ἤχῳ) κατεπίδοσαν (CD -ίδουσαν; B τοὺς θεμέλια καταποιοῦσα [σ. super ι posito]) .. A ἐλλειπομένης, βροντῶν τ' ἦχος καταβαινουσῶν

8. Ὤφθησαν (B ὤφθη) δ. ἐν (ita AB; CD om) αὐτῷ τ. φ. νεκροὶ ἀναστάντ. (B νεκρῶν ἀνάστασις) -- ἐμαρτύρησαν, καὶ εἶπον εἶναι (haec ita habet B; ACD μαρτυρήσαντες εἶπον. ἐν ᾧ [A οἷς]) -- κ. τ. δώδ. πατρ. (haec B om) καὶ (B om) Μωσῆν (ita A [Μωυσ.], C. D Μωσῆ, B Μωυσέν) κ. Ἰώβ (A Ἰωάννην) τ. προτετελευτηκ. (A τ. προτελευτήσαντας, B τ. καὶ πρὸ πόλεως [sic] τελευτήσαντ.) -- τρισχιλ. (B δισχιλ.) πεντ. (B om) ἐτῶν | κ. πλ. (B add δὲ ἄλλοι) πο. οὓς

πολλοὺς οὓς κἀγὼ εἶδον ἐν σώματι φανέντας, καὶ θρῆνον δὲ ἐποίουν περὶ τῶν Ἰουδαίων διὰ τὴν γενομένην δι' αὐτῶν παρανομίαν καὶ ἀπώλειαν τῶν Ἰουδαίων καὶ τοῦ νόμου αὐτῶν.

9 Ἔστη δὲ ὁ φόβος τοῦ σεισμοῦ ἀπὸ ὥρας ἕκτης τῆς παρασκευῆς ἕως ὥρας ἐνάτης. καὶ ὀψίας γενομένης τῆς μιᾶς τῶν σαββάτων ἦχος ἐγένετο ἐκ τοῦ οὐρανοῦ ὥστε τὸν οὐρανὸν γενέσθαι φωταγωγὸν ἑπταπλασίως ὑπὲρ πάσας τὰς ἡμέρας. ὤφθη δὲ τρίτης ὥρας τῆς νυκτὸς καὶ ὁ ἥλιος οἷος οὐδέποτε ἔλαμψεν φωταγωγός, τὸν πάντα πόλον φαιδρύνας. καὶ ὥσπερ δὲ ἀστραπαὶ ἄφνω χειμῶνος ἐπέρχονται, οὕτως ἄνδρες ἐφαίνοντο ὑψηλοὶ ἐν στολῇ καὶ δόξῃ ὑπάρχοντες, πλῆθος ἀναρίθμητον, κράζοντες, ὧν ἡ φωνὴ ἠκούετο ὥσπερ βροντῆς παμμεγέθους· Ὁ σταυρωθεὶς ἀνέστη Ἰησοῦς· ἀνέλθατε ἐξ ᾅδου οἱ δεδουλωμένοι ἐν τοῖς καταχθονίοις τοῦ ᾅδου. καὶ ἦν τὸ χάσμα τῆς γῆς ὡς μὴ ὄντων ἑδρασμάτων· ἀλλ' οὕτως ἦν ὡς αὐτὰ τὰ θεμέλια τῆς γῆς φανῆναι μετὰ τῶν βοώντων ἐν τοῖς οὐρανοῖς καὶ περιπατούντων ἐν

---

κἀγὼ (A καὶ) εἶδ. (C ἴδ.) -- καὶ (AB om) θρῆν. δὲ (ita CAB; D om) ἐποίουν (ita D; C ποιούντων, A ποιήσαντες, B οὗτοι ποιοῦντες) πε. τ. Ἰουδ. (haec D; ABC om) -- γενομ. (D γεναμ.) δι' (ita AD, C παρ'; B om δι' αὐτ.) αὐτ. (B add εἰς τὸν Ἰησοῦν) παρανομίαν (ita CD; AB -νομον πρᾶξιν) -- τῶν (B praem τοῦ ἔθνους) Ἰουδ. -- αὐτῶν (B αὐτοῦ)

9. Ἔστη δὲ -- τῆς (A om) παρασκ. ἕ. ὥρας (A om) ἐνάτ. καὶ (A om) -- ἐκ τ. οὐρανοῦ cum CA .. B ὡς μὴ στέρξαι τὸν φόβον τοῦ σεισμ. τοῦ γενομένου ἀπὸ ὥρας ἕκτης τῆς παρασκ. ἕως ὀψίας τοῦ σαββάτου ἦχος ἐγένετο ἐκ τ. οὐρ. | ὥστε (B add πάλιν) -- γενέσθ. (B om) φωταγωγὸν (B -γωγεῖν) ἑπταπλασίως (A -σίονα) -- ἡμέρας (B add ὠφθῆναι sic; aut igitur φωταγωγόν restituendum, aut ὠφθῆναι delendum est quippe ortum ex ὤφθη δέ, quod rursus compensasse videtur librarius addito ὤφθη post ἥλιος) | ὤφθη δὲ (haec B om) τρίτης (B add οὔσης) -- καὶ ὁ (A om κ. ὁ) ἥλιος (B add ὤφθη) οἷος (B οἵως, A ὡς) ἔλαμψ. φωτ. (B om) τ. πάντα (B ἅπ.) πόλον (B κόσμον) φαιδρ. (B πολὺ φαιδρ., A πολλὰ φαιδρ. omissis ἔλαμψ. usque πόλον) | καὶ (AB om) ὥσπερ δὲ (A om) -- ἄνδρ. ἐφαίν. (A ἐφάνησαν ἄνδρ.) ὑψηλ. (A om) ἐν (A add νεφελεινῇ) στ. (B add μεγάλοι) κ. δόξῃ (B ἔνδοξοι, A add μεγάλῃ) -- ὧν (B ὡς, A καὶ) ἡ φωνὴ (A φωναὶ) ἠκούετο (A -οντο) ὥ. βροντῆς παμμεγέθους (B -τῆς -έθης, A -έθους -τῆς, C -εθῆ -τῆ) Ὁ (B praem λέγων) στ. ἀν. Ἰησ. (ita C, A ἀν. Χριστ., B θεὸς ἔστη) ἀνέλθατε (A ἀνῆλθόν τε) ἐξ. ᾅ. οἱ (C οἱ ἐξ. ᾅ.) δεδουλ. (B κατερχόμενοι) -- τοῦ (B τῆς γῆς τοῦ) ᾅδου (B add ἀπὸ Ἀδάμ) cum ABC | ὡς μὴ ὄντων ἑδρ. cum AC .. B μέγα ὡς μὴ εἶναι ἕδρασμα | B om οὕτως ἦν | αὐτὰ τὰ θεμ. τ. γῆς cum C .. AB αὐτὰ τὰ ὕδατα ὑποκάτω τῆς (A om) ἀβύσσου | φανῆναι μετὰ τ. βοώντ. (A om) ἐ. τ. οὐρ. καὶ περιπατούντ. (A καίπερ ὑπαντούντ.) -- ἐν μέσῳ (A add τοῦ πλήθους) τ. ἀ. νεκρῶν cum CA .. B ὁράσθη, καὶ πλη-

σώματι ἐν μέσῳ τῶν ἀναστάντων νεκρῶν. ὁ δὲ ἀναστήσας πάντας τοὺς νεκροὺς καὶ συνδήσας τὸν ᾅδην ἔλεγεν Εἴπατε τοῖς μαθηταῖς μου ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν, ἐκεῖ αὐτὸν ὄψεσθε.

10 Πᾶσαν δὲ τὴν νύκταν ἐκείνην οὐκ ἐπαύσατο τὸ φῶς φαῖνον. τῶν δὲ Ἰουδαίων πολλοὶ ἔθανον ἐν τῷ χάσματι τῆς γῆς καταποθέντες, ὡς μὴ εὑρεθῆναι ἐπὶ τὴν αὔριον πλείστους τῶν κατὰ τοῦ Ἰησοῦ γενομένων. ἄλλοι φαντασίαν ἑώρων ἀναστάντων, οὓς οὐδέποτε ἡμῶν τις ἦν θεασάμενος. εἰ μὴ μία τις συναγωγὴ τῶν Ἰουδαίων οὐχ ὑπελείφθη ἐν αὐτῇ τῇ Ἱερουσαλήμ, ἐπεὶ πᾶσαι ἀφανεῖς τῇ πτώσει ἐκείνῃ ἀπῆλθον.

11 Τῷ οὖν φόβῳ ἐκείνῳ ἐν ἐκστάσει γενόμενος καὶ τρόμῳ δεινοτάτῳ συνεχόμενος, ἅπερ εἶδον κατ' αὐτὴν τὴν ὥραν γράψας ἀνήγαγον τῷ σῷ κράτει· ἐντάξας καὶ τὰ κατὰ τοῦ Ἰησοῦ πραχθέντα ὑπὸ τῶν Ἰουδαίων ἐξέπεμψα τῇ σῇ θειότητι, δέσποτα.

---

θος πολὺ τῶν ἀναστάντ. νεκρ. | ὁ δὲ ἀναστήσας -- τ. μαθ. μου (A om) -- ὄψεσθε cum AC .. B φανερῆς (-ρή?) δέ τις ἦν μία φωνή Ἦλθεν ὁ σταυρωθεὶς θεὸς ἀναστήσας πάντας τ. νεκρ., καὶ ὅτι προάγει ὑμᾶς -- ὄψεσθε.

10. νύκταν: ita BC | B ἀπέθαναν | A (ap. Fabr.) καταπιωθέντες | πλείστ. τῶν κ. τ. Ἰ. γενομένων cum C .. B τοὺς πλείονας τῶν Ἰουδαίων κατὰ τὸν Ἰησοῦν γενομένους .. A τὸ πλῆθος τῶν Ἰουδ. τῶν τὰ κατὰ τοῦ Ἰησοῦ λεγομένων | ἄλλοι (C ἀλλά, A καί) φα. ἑώρ. (B add νεκρῶν) ἀναστάντ. (A om) οὓς (A ἦν) οὐδ. ἡμῶν τις ἦν (ita de coniectura; A ἡμῶν τις et ἔστι post θεασ. habet, BC tantum ἡμῶν) θεασάμενος (B -μενοι, ad quod pro ἡμῶν poterat ἦμεν poni) | εἰ μὴ (cum C; A om) μία τις (ita C, A om) συναγωγή .. B καὶ μηδεμία τις συν. | B om αὐτῇ τῇ | ἐπεὶ -- ἀπῆλθ. cum C .. A ἐπεὶ πᾶσαι ἠφανίσθησαν .. B om. Praeterea A add οἱ δὲ τηροῦντες τὸ μνημεῖον στρατιῶται ἀπὸ τῆς ἰδέας τοῦ ἀγγέλου ἐσείσθησαν.

11. Τῷ οὖν -- δεινοτάτ. (B δεινῷ) συνεχόμενος cum BC .. A (cum prioribus coniungens) ἀπῆλθον οὖν ἐν φόβῳ ἐκεῖνοι ἐν ἐκστ. γενόμενοι καὶ τρ. δυνατωτάτῳ συνεχόμενοι | ἅπερ εἶδον (A ἴδον) cum ACD .. B om | κατ' αὐτ. (ita CD; AB κατὰ ταύτ.) τ. ὥραν .. A add γεγενημένα | ἀνήγαγ. cum ACD .. B ἀνένεγκα | ἐντάξας (ita CD; AB ὑποτ.) καὶ (A om) τὰ κα. τ. Ἰ. πρ. (B add ὑπομνήματα) ὑπὸ (B παρά, A om) τ. Ἰ. ἐξέπ. (AB καὶ ἐξ.) τῇ σῇ θειότ. (ita CD; AB θεότ.), δέσπ. (B add βασιλεὺς ἐν τῇ Ῥώμῃ)

---

# ΑΝΑΦΟΡΑ ΠΟΝΤΙΟΥ ΤΟΥ ΠΙΛΑΤΟΥ

## ΗΓΕΜΟΝΟΣ ΤΗΣ ΙΟΥΔΑΙΑΣ ΠΕΜΦΘΕΙΣΑ ΤΙΒΕΡΙΩ ΚΑΙΣΑΡΙ ΕΙΣ ΡΩΜΗΝ.

Κρατίστῳ σεβαστῷ φοβερῷ θειοτάτῳ Αὐγούστῳ Πιλᾶτος Πόντιος ὁ τὴν ἀνατολικὴν διέπων ἀρχήν.

1 Μηνῦσαι κέχρημαι πρὸς τὴν σὴν εὐσέβειαν διὰ τῆσδέ μου τῆς γραφῆς τρόμῳ πολλῷ καὶ φόβῳ συνεχόμενος, κράτιστε βασιλεῦ, τὴν τῶν ἐνισταμένων καιρῶν ῥοπήν, καθὼς τὸ τούτων τέλος ὑπέδειξε. Ταύτην γὰρ διέποντός μου τὴν ἐπαρχίαν, ὦ δέσποτα, κατὰ πρόσταξιν τῆς σῆς γαληνότητος, ἥτις ἐστὶ τῶν ἀνατολικῶν πόλεων μία καλουμένη Ἱερουσαλήμ, ἐν ᾗ τὸ ἱερὸν τοῦ τῶν Ἰουδαίων ἔθνους καθίδρυται, συναχθὲν ἅπαν τὸ πλῆθος τῶν Ἰουδαίων παραδεδώκασί μοι ἄνθρωπόν τινα λεγόμενον Ἰη

* Ἀναφορὰ Πο. τοῦ (ita B; A om) Πιλ. -- εἰς (B ἐκ) Ῥώμ. (B Ῥωμανίας) cum AB .. C Ἀναφ. Πιλάτου πεμφθεῖσα ἐν Ῥώμῃ πρὸς Τιβέριον Καίσαρα· περὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πραχθέντα .. D Ἐπιστολὴ Ποντ. Πιλ. πρὸς τὸν βασιλέα Τιβέριον περὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Eadem, additis ἧς ἡ ἐπιγραφὴ ἔχει οὕτως, in cod. A praemissa leguntur inscriptioni.

Κρατ. σεβαστῷ (ita BCD; A σεβασμίῳ) φοβερῷ (ita AB, item C post θειοτάτ., D om) θειοτ. (D om; B αὐτοκράτορι θειοτ.) Αὐγ. (ita A, item B; C Τιβερίῳ Αὐγούστῳ, D Τιβερίῳ Καίσαρι) -- διέπων (ita AD, C ἐπέχων; B διοικῶν post ἀρχ.)

1. Μηνῦσαι .. BC -σει | πρ. τ. σ. εὐσέβ. cum ABD .. C τῇ ὑμετέρᾳ εὐσεβείᾳ | τῆσδέ μου τ. γραφ. cum ABD .. C τῆσδε τῆς ἐμῆς ἀναφορᾶς (ἀναφορ. pro γραφ. etiam E habet) | τρόμ. (h. l. BC; A ante συνεχ.) πολλ. (h. l. AB, C post φόβῳ) κ. φ. συνεχ. | κράτιστε .. C om | τὴν τ. ἐ. κ. ῥοπήν cum ABC .. E τὰ τ. ε. κ. | τὸ τούτ. τέλ. ὑπέδ. cum AB .. CE τὸ τέλειον τῶν ἐνεστώτων ἀνέδειξε καιρῶν | C Ταύτην διέπων τὴν ἀρχήν, κατὰ πρᾶξιν τῆς ὑμετέρας γαληνότητος | C μία τῶν πόλεων | τὸ ἱερὸν τοῦ τ. Ἰ. ἔθνους cum A .. B τὸ ἱερ. τῶν Ἰουδ. καὶ τὸ ἔθνος .. C τὸ τῶν Ἰουδ. ἔθνος | καθίδρ. cum AB .. C ἐνίδρυται | ἅπαν (ita C; AB πᾶν) τὸ (A om) πλ. τῶν (A om) Ἰ. παραδεδώκασί (ita AB; C παρέδωκάν) μ. ἄνθρ. τι. (C τι. ἄνθρ.) λεγ. Ἰησ. (ita BC; A Ἰ. λεγ.)

σοῦν, πολλὰ καὶ ἄπειρα ἐγκλήματα φέροντες κατ' αὐτοῦ· οὐκ ἠδυνήθησαν δὲ ἔν τινι λόγῳ ἐλέγξαι αὐτόν. μία δὲ αἵρεσις ἦν αὐτοῖς κατ' αὐτοῦ, ὅτι τὸ σάββατον ἔλεγεν μὴ εἶναι ὀρθὴν τούτων σχολήν. πολλὰς δὲ ἰάσεις ἐπετέλει ἐπ' ἀγαθοῖς ἔργοις ὁ ἄνθρωπος ἐκεῖνος· τυφλοὺς ἐποίησεν βλέπειν, λεπροὺς ἐκαθάρισεν, νεκροὺς ἤγειρε, παραλυτικοὺς ἰάσατο, μὴ δυναμένους τὸ σύνολον κινεῖσθαι, εἰ μὴ μόνον ἔχοντας φωνὴν καὶ τὴν τῶν ὀστέων ἁρμονίαν, καὶ παρέσχεν αὐτοῖς δύναμιν τοῦ περιπατεῖν τε καὶ τρέχειν, ῥήματι μόνῳ ἐπιτρέψας. ἄλλο τε δυνατώτερον πρᾶγμα ἐποίησεν, ὅπερ ἦν ξενὸν καὶ παρὰ τοῖς θεοῖς ἡμῶν· νεκρόν τινα Λάζαρον τετραήμερον ἐκ νεκρῶν ἀνέστησεν, λόγῳ μόνῳ κελεύσας ἐγερθῆναι τὸν τεθνεῶτα, διεφθαρμένον ἤδη ἔχοντα τὸ σῶμα ὑπὸ τῶν ἑλκογενήτων σκωλήκων· καὶ τὸ δυσῶδες ἐκεῖνο σῶμα τὸ κείμενον ἐν τῷ τάφῳ ἐκέλευσεν τρέχειν, καὶ ὡς ἐκ παστοῦ νυμφίος οὕτως ἐκ τοῦ τάφου ἐξῆλθεν εὐωδίας πλείστης πεπληρωμένος. [2] Καί τινας ἀφειδῶς δαιμονιζομένους καὶ τὰς οἰκήσεις ἔχοντας ἐν ἐρημίαις καὶ σαρκοφαγοῦντας τῶν ἰδίων μελῶν καὶ τοῖς ἑρπετοῖς καὶ τοῖς ἀγρίοις θηρίοις συναναστρεφομένους οἰκήτορας κατέστησεν πόλεων ἐν τοῖς ἰδίοις οἴκοις, καὶ διὰ λόγου σώφρονας αὐτοὺς ἀπέδειξε, καὶ συνετοὺς καὶ ἐνδόξους γενέσθαι

---

-- ἄπειρα (C ἄκαιρα) -- οὐκ ἠδ. δὲ (C om) -- αὐτόν (C τοῦτον. B om οὐκ ἠδυν. usq. αὐτόν) | αἵρ. ἦν (A ἦν εὕρησις) αὐτοῖς (A αὐτῶν) κ. αὐτοῦ .. B om μία usque κ. αὐτ. | ἔλεγε -- σχολήν cum AB .. C ἔλυε, λέγων μὴ εἶναι αὐτὸ ὀρθὴν σχ. | ἐπετέλει cum BCD .. A ἐπιτελεῖ | ἐπ' .. C ἐν | C om ὁ ἄνθρ. ἐκ. | C ἀναβλέπειν | λεπρ. ἐκαθάρισεν (ita B; A καθαρίζει; D καθαρίζων) νε. ἤγειρε (ita B; A ἐγείρων) παρ. ἰάσατο (ita B; A ἰώμενος) .. C pro his χωλοὺς περιπατεῖν, παραλ. ἰώμενος | μὴ δυν. -- περιπ. τε (B om) κ. τρέχ., ῥήμ. (B add καὶ) μ. ἐπιτρέψας (B -ψαι?) cum AB .. C om | ἄλλο τε (B τι) -- ἐποίησεν (B om) -- θε. ἡμῶν cum AB .. C om | νεκρόν τ. Λάζ. τετρ. (B τετρ. Λάζ.) -- λόγ. (B add καὶ) μόν. -- τεθνεῶτα (A -νηκότα) διεφθαρμένον (ita B; A apud Bch διηφθειρόμενον) -- ἑλκογενήτων (B si Fl. recte legit ἕλκους γεννώντων) σκ. καὶ (ita BD; A om) -- οὕτως (ita B; A οὗτος) ἐκ τοῦ (B om) τάφου -- πλείστης (A? B? πλήρης; fortasse πλήστης scriptum est) πεπληρωμενος cum AB .. C (eaque post ἐκπέμψας εἰς θάλασσαν habet) καί τινα ἄνθρωπον ὀνόματι Λάζαρον τεθνεῶτα τετραήμερον ἤγειρεν, κελεύσας τὸν νεκρὸν ἐγερθῆναι ἐκ τάφου ὥσπερ νυμφίον ἐκ παστοῦ.

2. ἀφειδῶς cum A .. BC σαφῶς | δαιμονιζ. cum AC .. B add καὶ ἀτακτοῦντας | ἔχ. ἐν ἐρ. (B add καὶ ὄρεσι) cum BC .. A ἐν ἐρ. ἔχ. | κ. τ. ἑρπετοῖς -- συναναστρεφ. (ita BD; A συνανατρεφ.) οἰκ. κατ. (A add ὡσεί, non item BD, nec C) πόλ. -- λόγου (B add μόνου) σώφρ. αὐτ. ἀπέδειξ. (ita B, item C;

παρεσκεύασεν τοὺς ὑπὸ ἀκαθάρτων πνευμάτων ἐνοχλουμένους,
καὶ τοὺς ἐν αὐτοῖς δαίμονας ἐν ἀγέλῃ χοίρων ἐκπέμψας εἰς θά-
λασσαν ἀπέπνιξεν. [3] Ἄλλον πάλιν τινὰ ξηρὰν ἔχοντα τὴν χεῖρα
καὶ ἐν λύπαις ζῶντα καὶ μηδὲ ἥμισυ σώματος ἔχοντα ὑγιὲς λόγῳ
μόνῳ παρέστησεν ὑγιῆ. [4] Καὶ γυναῖκα αἱμορροοῦσαν ἐπὶ χρό-
νοις πολλοῖς, ὡς ἐξ αὐτῆς τῆς ῥύσεως τοῦ αἵματος πᾶσαν τὴν
τῶν ὀστέων ἁρμονίαν φαίνεσθαι καὶ ὑέλου δίκην διαυγάζειν, καὶ
γὰρ πάντες ἰατροὶ ἀνελπίστως αὐτὴν ἀπειπάμενοι οὐκ ἐκαθαί-
ρουν· οὐκ ἦν γὰρ ἐν αὐτῇ δήπου τις σωτηρίας ἐλπίς· ποτέ γ'
οὖν παρερχομένου τοῦ Ἰησοῦ ἥψατο ὄπισθεν τοῦ κρασπέδου τῶν
ἱματίων αὐτοῦ. καὶ αὐτῇ τῇ ὥρᾳ ἀνεπληρώθη ἡ δύναμις τοῦ
σώματος αὐτῆς, καὶ γέγονεν ὑγιὴς ὡς μηδὲν κακὸν ἔχουσα, καὶ
ἤρξατο δρομαίως τρέχειν εἰς τὴν αὐτῆς πόλιν Πανεάδα.

[5] Καὶ ταῦτα μὲν οὕτως εἶχον· κατεμήνυον δὲ οἱ Ἰουδαῖοι
ἐκτελεῖν ταῦτα ἐν σαββάτῳ τὸν Ἰησοῦν. ἐγὼ δὲ καὶ παρὰ τοὺς

---

A ὑπέδειξ. αὐτ.) - - πνευμάτων (ita D, item B addito δέσποτα; A δέσποτα) ἐνοχλ. (B ὀχλ.) cum AB(D) . . C καὶ ὑλακτοῦντας διὰ λόγου σώφρονας ἀπέδειξε, σοφοὺς κ. συνετοὺς κ. ἐνδόξ. οἰκήτορας πόλ. κατέστησεν | καὶ τοὺς ἐν αὐτ. - - ἀπέπνιξ. cum A . . C κ. τοὺς αὐτοῦ δαίμονας ὀλεθρίῳ βίῳ ἀγέλῃ χοίρων ἐκπέμψας εἰς θάλασσαν.

3. Ἄλλον - - τὴν (ita B, A om) χ. καὶ ἐν λύπαις ζῶντα (haec D habet, A τὸν πόθοντα [?] βίον ἐν λύπῃ κεκτημένον; B om) καὶ - - λόγῳ (B add καὶ) μόνῳ (B add ἰασάμενος) π. ὑγιῆ cum AB(D) . . C om

4. ἐπί cum AB . . C ἐν | ὡς ἐξ . . B om ὡς | καὶ ὑέλου δίκ. διαυγ. cum D . . C om . . AB καὶ μήτε (B μήτι) ὅμοιον ἀνθρωπίνης φύσεως (A add τοῦ σώματος) ἐπιφερομένην (B -μένης) ἀλλὰ καὶ (A om) ὑέλου (A βαίλου ex confusis υ et β) δίκην διαυγάζειν (ad ἐπιφερομένην et ἀποκειμένην magis quadrat διαυγάζουσαν), καὶ ὡς (B ἕως) νεκρὰν ἀποκειμένην ἀπὸ τῆς αἱμορροΐας (A ἀπὸ αἵματος ῥύσεως) | καὶ γὰρ (C ὥστε) πάντες (ita AC; B add οἱ) ἰατροὶ ἀνελπ. αὐτ. (C om ἀν. αὐτ.) ἀπειπ. οὐκ ἐκαθαίρουν (ita C; AB οὐκ ἐθεώρουν) - - δήπου τις (ita D; AB δέσποτα; C δέσποτα αὐτοκράτωρ, μία) | ποτέ (ita B, A τότε; C ἥτις omisso γ' οὖν) γ' οὖν (B γὰρ) παρερχ. τ. Ἰησοῦ . . AB (C nihil add) add συμβαλοῦσα διὰ τῆς ἐπισκέψεως (B ἐπισκιάσεως) αὐτοῦ (B αὐτόν). Thilo horum loco reposuit ex altero textu ἰσχὺν λαβοῦσα διὰ τῆς ἐπισκιάσ. αὐτοῦ. | C τοῦ ἱματίου αὐτοῦ | καὶ αὐτῇ - - τ. σώματος αὐτῆς cum AC . . B om | καὶ γέγονεν (B ἐγεγόνει) - - αὐτῆς (B ἑαυτῆς) πόλ. Πανεάδα (ita ex coniectura cum Thilone scripsimus; uterque enim codex Σπανίαν habet) cum AB . . C om, item (nisi forte priora habet) D.

5. κατεμήνυον cum BCD . . A κατέμεινον | ταῦτα ἐν (ita B, A τῷ) σαββ. cum AB . . C om | ἐγὼ δὲ - - γεγονότα cum A . . C ὡς ὅτι καὶ παρὰ τ. θ. οὓς σεβ. μείζων (sic) ὑπάρχειν . . B om

θεοὺς οὓς σεβόμεθα μείζονα κατενόησα θαυμάσια παρ' αὐτοῦ γεγονότα.

6 Τοῦτον οὖν Ἡρώδης καὶ Ἀρχέλαος καὶ Φίλιππος καὶ Ἄννας καὶ Καϊάφας παραδεδώκασί μοι σὺν παντὶ τῷ λαῷ πρὸς τὸ ἐτάσαι αὐτόν. καὶ πολλῶν στάσιν κινησάντων κατ' ἐμοῦ, ἐκέλευσα σταυρωθῆναι.

7 Ἡνίκα δὲ ἐσταυρώθη, σκότος ἐγένετο ἐφ' ὅλην τὴν οἰκουμένην, τοῦ ἡλίου κρυβέντος τελείως καὶ τοῦ πόλου σκοτεινοῦ φαινομένου ἡμέρας οὔσης, ὥστε ἄστρα φανῆναι ἀλλ' ὅμως τὴν τηλαυγότητα ἐσκοτισμένην ἔχειν, ὡς οὐδὲ ἡ ὑμετέρα οἶμαι εὐσέβεια ἀγνοεῖ, ὅτι ἐν παντὶ τῷ κόσμῳ ἧψαν λύχνους ἀπὸ ἕκτης ὥρας ἕως ὀψίας. σελήνη δὲ ὡς αἷμα οὖσα ὅλην τὴν νύκτα οὐ διέλαμπε, καίτοι γε παμπληθοῦς αὐτῆς τυγχανούσης. τὰ ἄστρα δὲ καὶ ὁ Ὠρίων θρῆνον ἐποίουν περὶ τῶν Ἰουδαίων διὰ τὴν παρ' αὐτῶν γενομένην παρανομίαν.

---

6. Τοῦτον οὖν -- κ. Ἄνν. (haec B ante κ. Φίλ.) -- ἐτάσαι αὐτόν cum AB .. C τοῦτον οὖν Ἄννας κ. Καϊάφας καὶ ἅπαν τὸ πλῆθος τῶν Ἰουδαίων παρέδωκάν μοι ἐπὶ τοῦ ἀνετάσαι τοῦτον | καὶ πολλῶν στάσιν κινησάντων κατ' ἐμοῦ, ἐκέλευσα σταυρ. cum C .. AB (similiterque D ut videtur) πολλὴν στάσιν κινήσαντες κατ' ἐμοῦ περὶ ὧν κατηγόρουν αὐτοῦ (B αὐτόν). ἐν πρώτοις δὲ (B μὲν) φραγελλώσας αὐτὸν (B om) οὐδεμίαν εὗρον αἰτίαν (B αἰτ. εὗρ.) περὶ (A add αὐτοῦ) ὧν ἔλεγον κατ' αὐτοῦ. λοιπὸν οὖν παρέδωκα (B παραδέδωκα) τοῦτον πάλιν (B πά. τοῦτ.) αὐτοῖς.

7. Ἡνίκα δὲ ἐσταυρ. cum C .. ABD οἳ (D ὃν) καὶ σταυρώσαντες | ἐφ' ὅλην τ. οἰκ. cum AB .. C ἐπὶ πᾶσαν τὴν γῆν | κρυβέντ. τελείως (ita BD; A τελείου) cum ABD .. C σκοτισθέντος παντελῶς | καὶ τοῦ πόλου -- ἄστρα (ita BD; A add μὴ) φανῆναι -- ἐσκοτισμένην (A σκοτεινομένης) ἔχειν (ita de coniectura; videtur enim ex ἔχ'', quod est compendium infinitivi, ortum esse ἐχούσης, quod BD habent; A οὔσης habet) cum BDA .. C om | ὡς οὐδὲ ἡ (A om) ὑμετ. οἶμ. (A post εὐσ.) εὐσ. ἀγνοεῖ cum AB .. C ὡς οὐκ ἀγνοεῖ ἡ ὑμετέρα θειότης | ἧψαν .. C ἥψαμεν | ὀψίας .. C ὥρας ἑσπέρας | σελήνη δέ cum BC .. A ἡ σελ. δέ | ὡς αἷμα -- διέλαμπε (ita B, A διέλιπε) cum BA .. C εἰς αἷμα οὐ διέλιπε (sic) | παμπληθοῦς αὐτῆς (B om) cum AB .. C τὸ πᾶν πλῆθος αὐτῶν (sic) | τὰ ἄστρα δὲ etc haec h. l. cum B posui, quocum fere facit C; A vero, ad quem prope accedere videtur D, h. l. sic: καὶ ὅλος ὁ κόσμος ἐσαλεύετο ὑπὸ ἀνεκδιηγήτων σημείων, καὶ ἔμελλεν πᾶσα ἡ κτίσις ὑπὸ τῶν καταχθονίων καταπίνεσθαι· ὡσαύτως δὲ καὶ ὅπερ εἶχον ἁγίασμα τοῦ ναοῦ αὐτῶν σχισθῆναι ἀπὸ ἄνωθεν ἕως κάτω. βροντὴ δὲ πάλιν καὶ ἦχος μέγας ἐκ τοῦ οὐρανοῦ ἐγένετο, ὥστε πᾶσαν τὴν γῆν ἡμῶν (D om) σαλευθῆναι (D σαλεύεσθαί τε) καὶ τρέμειν. Iam vero addit ὤφθησαν δὲ ἐν αὐτῷ τῷ φόβῳ usque φανερῶς, quae post videbimus sect. 9., ubi in codd. BC sequuntur. | τὰ ἄ. δὲ (A δ. ἄ.) -- θρῆνον (A -νους) ἐπ. περὶ (A om) -- παρανομίαν cum BA .. C vero pro-

8 Μιᾷ δὲ τῶν σαββάτων περὶ τρίτην ὥραν τῆς νυκτὸς ὁ ἥλιος ὤφθη οἷος οὐδέποτε ἔλαμψεν, καὶ πᾶς ὁ οὐρανὸς ἐφαιδρύνθη. καὶ ὡς ἀστραπαὶ χειμῶνος ἐπέρχονται, οὕτως ἄνδρες ὑψηλοί τινες κοσμήσεως στολῆς καὶ δόξης ἀνεκδιηγήτου ὑπάρχοντες ἐφαίνοντο ἐν τῷ ἀέρι, καὶ πλῆθος ἀναρίθμητον ἀγγέλων κραζόντων καὶ λεγόντων Δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία· ἀνέλθατε ἐξ ᾅδου, οἱ δεδουλωμένοι ἐν τοῖς καταχθονίοις τοῦ ᾅδου. ἐκ δὲ τῆς φωνῆς αὐτῶν πάντα τὰ ὄρη καὶ οἱ βουνοὶ ἐσαλεύοντο καὶ πέτραι διερρήγνυντο καὶ χάσματα ἐγένοντο μεγάλα ἐν τῇ γῇ, ὥστε καὶ τὰ τῆς ἀβύσσου φανῆναι.

9 Ὤφθησαν δὲ ἐν αὐτῷ τῷ φόβῳ νεκροὶ ἀναστάντες, ὡς αὐτοὶ ἑωρακότες οἱ Ἰουδαῖοι εἶπον ὅτι εἴδομεν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ τοὺς δώδεκα πατριάρχας τοὺς προτετελευτηκότας πρὸ δισχιλίων πεντακοσίων ἐτῶν, καὶ Νῶε εἴδομεν ἐν σώματι φανερῶς. καὶ περιεπάτει πᾶν πλῆθος καὶ ἀνύμνει τὸν

pria haec habet: ἤρξαντο δὲ γίνεσθαι σεισμοὶ ἐν ᾗ ὥρᾳ ἐπάγησαν οἱ ἧλοι εἰς τὰς χεῖρας καὶ τοὺς πόδας τοῦ Ἰησοῦ ἕως ἑσπέρας.

8. Μιᾷ δὲ τ. σαββ. cum D .. A μετὰ δὲ τὸ σάββατον .. BC om | περὶ (BC add δὲ) τρίτην (B -της) ὥραν (B -ας) | οἷος οὐδ. ἔλαμψ. (C om ἔλ.) cum BCD .. A οἷος οὐδ. ὤφθη, οὐδὲ οὐδέποτε οὕτως ἔλαμψεν | καὶ πᾶς ὁ (ita BCD; A pro his καίπερ) οὐρ. ἐφαιδρύνθη (B -δριώθη) | καὶ ὡς (C ὥσπερ) ἀστραπαὶ (B -πή; D deficit inde ab ἀστραπαί) χειμ. ἐπέρχ. (ita CE: B om, A om ἐπέρχ. οὕτ.), οὕτ. ἄνδρ. ὑψ. (C om) τιν. (B om) κοσμ. στολ. (ita A, B στολ. κοσμ., C om κο. στ. usque ὑπάρχοντ.) -- ὑπάρχοντ. -- καὶ (C om) πλῆθ. ἀναρ. (C ἀνεκδιηγήτων sic) ἀγγέλ. (C om) κραζ. κ. λεγ. (κ. λεγ. ex C, AB om). Δόξα (ita BC; A vero sic: Ὁ σταυρωθεὶς Χριστὸς ἀνέστη θεὸς ὤν. καὶ φωνὴ ἠκούετο ὥσπερ μέγεθος βροντῶν λέγουσα Δόξα) -- ἀνέλθατε (ita AC; B -θετε) ἐξ ᾅδου (ita C; AB οἱ ἐξ [B ἐν] ᾅδου) οἱ δεδουλωμ. (ita AB; CE δεδεμένοι) τ. ᾅδου | ἐκ δὲ τῆς φων. αὐτῶν -- διερρήγν. (ita A, vide etiam C; B p[ro h]is omnibus sic: φόβος δὲ καὶ ἔκστασις γέγονεν οἷος οὐδέποτε γέγονεν· σεισμοὶ ἐγένοντο οὐκ ὀλίγοι) καὶ χάσμ. ἐγέν. (B om) μεγ. -- φανῆναι cum BA .. C ἐκ δὲ τῆς φων. αὐτῶν πᾶσα ἡ γῆ ἐσείσθη, ὥστε παρ' ὀλίγον εἰς ἀπώλειαν ὅλος ὁ κόσμος ἤρχετο· μὴ μόνον σαλευθῆναι (sic omnia) τὴν πόλιν ἀλλὰ καὶ τρέμειν.

9. Ὤφθησαν etc: ita h. l. BC; A vero, in quo ὤφθησαν usque φανερῶς supra legi indicavimus (cf. 7.), h. l. haec add: καὶ πολλὰ σώματα τῶν κεκοιμημένων νεκρῶν ἐξανέστησαν ἄχρι πεντακοσίων. | Ὤφθ. δέ .. C add καί, omissis ἐν αὐτ. τ. φόβ. | ὡς (nescio an praestet οὕς) αὐτ. ἑωρ. οἱ (B om) Ἰουδ. (C om οἱ Ἰ.) -- εἴδομεν (C add τὸν) -- τ. προτετελ. (ita C, AB add μετὰ Μωσέα; D τοὺς πρὸ Μωσέως habet, omissis τ. προτετ. et πρό) πρὸ (C om) δισχ. πεντ. ἐτ. (A add καὶ ἑτέρους πολλούς), καὶ Νῶε usque φανερῶς (haec AB habent, CD om) | καὶ περιεπάτει -- ἀνύμνει (B ἐνύμν.) -- λέγων (ita AB) -- τ. νεκροὺς

θεὸν μετὰ φωνῆς μεγάλης λέγων Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν κύριος ὁ θεὸς ἡμῶν πάντας τοὺς νεκροὺς ἐζωοποίησεν, καὶ τὸν ᾄδην συλήσας ἐνέκρωσε.

10 Πᾶσαν οὖν τὴν νύκτα ἐκείνην, ὦ δέσποτα βασιλεῦ, τὸ φῶς οὐκ ἐπαύετο. τῶν δὲ Ἰουδαίων πολλοὶ ἀπέθανον καὶ κατεποντίσθησαν καὶ κατεπόθησαν τοῖς χάσμασιν ἐν τῇ νυκτὶ ἐκείνῃ, ὥστε μηδὲ τὰ σώματα αὐτῶν φανῆναι· ἐκείνους δὲ λέγω παθεῖν τῶν Ἰουδαίων τοὺς κατὰ τοῦ Ἰησοῦ λέγοντας. μία δὲ συναγωγὴ κατελείφθη ἐν Ἱεροσολύμοις, ἐπεὶ πᾶσαι αἱ συναγωγαὶ ἐκεῖναι αἱ γενόμεναι κατὰ τοῦ Ἰησοῦ κατεποντίσθησαν.

11 Τῷ οὖν φόβῳ ἐν ἐκστάσει γενόμενος καὶ πολλῷ τρόμῳ συσχεθεὶς κατ' αὐτὴν τὴν ὥραν ἐπιτάξας γράψαι τὰ πραχθέντα παρ' αὐτῶν πάντων ἀνήγαγον τῷ σῷ κράτει.

---

(A add ἡμῶν) ἐζωοπ. -- ἐνέκρωσε cum AB .. C om, sed add οὓς κἀγὼ ἴδον ἐν σώματι περιπατοῦντας, ὥστε δέσποτα θεωρῆσαί με τινὰ νεκρὸν ἀρχαιότατον οἷον οὐδέποτε τεθέακα, quorum posteriorum similia in cod. A inepte post κατὰ τοῦ Ἰησ. λέγοντας adduntur, in hunc fere modum emendanda: ὥστε δοκεῖν (cod. δοκον) με φαντασίᾳ τινὶ (cod. τινα) θεωρεῖν ἐκ νεκρῶν ἀρχαιοτάτους πολλούς, οὓς οὐδέποτε ἡμεῖς ἐθεασάμεθα (cod. -σώμεθα).

10. Πᾶσαν -- ὦ δέσπ. (B add εὐσεβέστατε) βασ. -- κατεπόθησαν (B κατεπτώθησαν [?] ante κ. κατεποντ.) -- ὥστε usque φανῆν. (haec B om) · ἐκείνους -- παθεῖν (ita B; A δέσποτα, μὴ φανῆναι) -- λέγοντας cum AB .. C om | μία δὲ (A add τις) σ. κατελ. (C ἐκατελ.) ἐν Ἱερ. (C ἐν αὐτῇ τῇ πόλει) -- ἐκεῖναι αἱ γ. κ. τ. Ἰησοῦ (C om ἐκεῖναι usque Ἰησοῦ) κατεποντ. (C ἔπεσον) cum AC .. B om

11. Τῷ οὖν (ita BC, A γ' οὖν) φόβ. (C add ἐκείνῳ) -- συσχεθεὶς (ita AB; C συνεχόμενος) | κατ' αὐτὴν (A κατὰ ταύτ.) τ. ὥραν -- παρ' αὐτῶν πάντ. (ita A, B παρ' αὐτοῦ) ἀνήγαγ. (B ἀνήγγειλα) τ. σ. κράτει cum AB .. C γράψας τῇ ὥρᾳ ταύτῃ ἀνήγαγ. τῷ ὑμετέρῳ κράτει· ὑποτάξας δὲ καὶ τὰ πραχθέντα ὑπὸ τῶν Ἰουδαίων κατὰ τοῦ Ἰησοῦ ἐξέπεμψα τῇ ὑμετέρᾳ εὐσεβείᾳ, δέσποτα αὐτοκράτωρ.

---

# ΠΑΡΑΔΟΣΙΣ ΠΙΛΑΤΟΥ.

[1] Φθασάντων δὲ τῶν γραμμάτων ἐν τῇ Ῥωμαίων πόλει καὶ ἀναγνωσθέντων τῷ Καίσαρι, οὐκ ὀλίγων ἑστώτων ἐκεῖ, ἅπαντες ἔκθαμβοι ἐγένοντο ὅτι διὰ τὴν τοῦ Πιλάτου παρανομίαν τὸ σκότος καὶ ὁ σεισμὸς ἐγένετο ἐφ' ὅλην τὴν οἰκουμένην. καὶ θυμοῦ πλησθεὶς ὁ Καῖσαρ ἐκπέμψας στρατιώτας ἐκέλευσεν δέσμιον ἀγαγεῖν τὸν Πιλᾶτον.

[2] Καὶ ἀχθέντος αὐτοῦ ἐν τῇ Ῥωμαίων πόλει, ἀκούσας ὁ Καῖσαρ ὅτι παρέστη ὁ Πιλᾶτος, ἐκαθέσθη ἐν τῷ ναῷ τῶν θεῶν ἐπὶ πάσης τῆς συγκλήτου καὶ σὺν παντὶ τῷ στρατεύματι καὶ παντὶ τῷ πλήθει τῆς δυνάμεως αὐτοῦ, καὶ ἐκέλευσεν ἐν προόδῳ στῆναι τὸν Πιλᾶτον. καί φησιν ὁ Καῖσαρ πρὸς αὐτόν Τί τοιαῦτα ἐτόλμησας, δυσσεβέστατε, ἑωρακὼς τηλικαῦτα σημεῖα εἰς τὸν ἄνδρα ἐκεῖνον; κακὴν πρᾶξιν τολμήσας ὅλον τὸν κόσμον ὤλεσας.

* Titulus iste apponi non solet in manuscriptis libris. Sumsimus ex A, nisi quod demum verbis Καὶ ἀχθέντος αὐτοῦ appositum habet. In codicibus vero nostris BCDE paradosis haec Pilati adiuncta est anaphorae eiusdem, nulla interposita nova inscriptione.

1. ἐν τῇ Ῥωμ. πόλ. cum BCD .. AE ἐν τῇ (A om) Ῥώμῃ | καὶ ἀναγν. τῷ Καίσ. (A om τ. K.) cum CDA .. B κ. γνωρισθέντων τῷ Αὐγούστῳ Καίσαρι καὶ ἀναγνωσθέντων .. E καὶ ἐπαναγνοὺς (sic) ἐπὶ τῷ Τιβερίῳ Καίσαρι | οὐκ (E om) ὀλίγ. ἑστώτ. ἐκεῖ (ita CD; A ἐν τῇ πόλει ante ἑστ., E om) cum CDAE .. B om | ἅπαντ. (ita BCD; A πάντ.; E ἅπαν τὸ πλῆθος) ἔκθ. ἐγ. (B add καὶ ἐθλίβοντο λέγοντες) | ὅτι (E om) διὰ τὴν (A δι' αὐτὴν) -- τὸ (E ὅτι τε) σκότ. καὶ ὁ σεισμ. (E καὶ σεισμοὶ) ἐγένετο (E ἐγένοντο) | θυμ. πλ. cum ACD .. BE θυμωθείς | ἐκπ. στρ. (haec E om) -- ἀγαγεῖν (E ἀχθῆναι) τ. Πιλ. (E add ἐν Ῥώμῃ, item D καὶ κατακεκρυμμένον ἀχθῆναι αὐτὸν ἐν τῇ Ῥωμαίων πόλει) cum ACDE .. B ἔπεμψεν στρ. ἵνα δέσμ. ἀγάγωσιν τὸν Πιλ.

2. Καὶ ἀχθ. -- πόλει cum AC .. B καὶ ἠνέχθη -- πόλει .. D om (vide ante). E sic: καὶ δὴ προκαθίσας ἐπὶ τὸ καπετώλιον ἐκέλευσεν ἐν προόδῳ etc, omissis iis quae praecedunt. | B ἀκ. δὲ ὁ K. ὅτι ἠνέχθη | B τοῦ θεοῦ | στῆναι .. B εἶναι, E (vide ante) ἀχθῆναι | καί φησιν (B ἔφησεν) ὁ K. πρ. αὐτ. (E om πρ. αὐτ.) .. E add haec: Λέγε κατάρατε καὶ δυσσεβέστατε, σὺ εἶ Πιλᾶτος ὁ καὶ ἡγεμών, ἀνατολικὴν ἐπέχων ἀρχήν; ὁ δὲ Πιλᾶτος ἔφη Ναί, δέσποτα αὐτοκράτωρ, ἐγώ εἰμι ὁ δοῦλος τῆς ὑμετέρας γαληνότητος· ἐγώ εἰμι Πιλᾶτος ὁ Πόντιος ὁ ἀπὸ Ἀμασίας πόλεως τῆς Πόντου διοικήσεως. καὶ ὁ Καῖσαρ εἶπεν | BE δυσσεβῆ (B -βεῖ) | ἑωρακὼς τηλικ. (ita AC; DE τοιαῦτα) σημ. εἰς τ. ἄνδρ. (E ἄνθρωπ.) ἐκ. cum ACDE .. B εἰς τ. ἄνδραν ἐκεῖνον τοιαῦτα σημ. παρ' αὐτοῦ ἑωρακώς | κακὴν (CD καὶ κακ.) πρ. τολμήσας (D ἐτόλμησας; CD add καὶ) ὅλ. τ. κ. (B τ. κ. ὅλ. et add διὰ τῆς σῆς παρανομίας) ὤλεσ. (BC ὀλ.) .. E κακὰ πρᾶξαι καὶ θανάτῳ παραδοῦναι αὐτόν

[3] Ὁ δὲ Πιλᾶτος ἔφη Αὐτοκράτωρ βασιλεῦ, ἐγὼ ἀναίτιος τούτων τυγχάνω, οἱ δὲ προπετεῖς καὶ αἴτιοι τὸ πλῆθος τῶν Ἰουδαίων ἐστίν. καὶ ὁ Καῖσαρ ἔφη Καὶ τίνες οὗτοι; λέγει ὁ Πιλᾶτος Ἡρώδης, Ἀρχέλαος, Φίλιππος, Ἄννας καὶ Καϊάφας, καὶ ἅπαν τὸ πλῆθος τῶν Ἰουδαίων. λέγει ὁ Καῖσαρ Τίνος ἕνεκεν τῇ βουλῇ ἐκείνων σὺ ἐξηκολούθησας; καὶ ὁ Πιλᾶτος λέγει Στασιαστὸν καὶ ἀνυπότακτόν ἐστιν τὸ ἔθνος αὐτῶν, μὴ ὑποτασσόμενον τῷ σῷ κράτει. καὶ ὁ Καῖσαρ εἶπεν Ἅμα παρέδωκάν σοι αὐτόν, ὤφειλες ἐν ἀσφαλείᾳ ποιῆσαι αὐτὸν καὶ ἐκπέμψαι πρός μέ, καὶ μὴ πεισθῆναι αὐτοῖς σταυρῶσαι τὸν τοιοῦτον ἄνδρα δίκαιον ὄντα καὶ τοιαῦτα σημεῖα ἀγαθὰ ποιήσαντα, ὡς σὺ εἶπας διὰ τῆς σῆς ἀναφορᾶς· ἐκ γὰρ τῶν τοιούτων σημείων φανερὸς ἦν ὁ Ἰησοῦς ὁ Χριστὸς ὁ βασιλεὺς τῶν Ἰουδαίων.

[4] Καὶ ταῦτα εἰπόντος τοῦ Καίσαρος καὶ ὀνομάσαντος αὐτοῦ τὸ ὄνομα τοῦ Χριστοῦ, ἅπαν τὸ πλῆθος τῶν θεῶν συνέπεσαν καὶ ἐγένοντο ὡσεὶ κονιορτός, ἔνθα ἐκαθέζετο ὁ Καῖσαρ μετὰ τῆς συγκλήτου. ὁ δὲ δῆμος ὁ παρεστηκὼς τῷ Καίσαρι πάντες

---

3. αὐτοκράτωρ (-τωρ ABCDE) βασ. cum ACD .. B αὐτ. Καῖσαρ, E δέσποτα αὐτ. | ἀναίτ. (E αἴτ.) τούτων (ita BC; AE τούτου, D om) τυγχ. (B εἰμί, E οὐκ εἰμί) | καὶ (ita CD; A add οἱ) αἴτιοι .. B om (E om οἱ δέ usq. ἐστίν) | ἐστίν cum ACD .. B εἰσίν | Ἡρ. Ἀρχ. Φί. Ἄνν. cum ACD .. B Ἡρ. καὶ Ἀ. καὶ Φ. καὶ Ἄνν. .. E om Ἡ. Ἀ. Φ. | B πᾶν | τῶν Ἰουδ. (A add ἐστίν) .. B αὐτῶν | λέγει .. A add αὐτῷ | C τῇ βουλήσει | σὺ (ita BD; AC om) ἐξηκ. | B ἀναστασιαστόν | B om ἀνυπότακτον | τὸ ἔϑν. (C πλῆϑ.) αὐτ. (B τῶν Ἰουδαίων) | A τ. κράτει σου | Ἅμα .. BE μόνον | E παραδέδωκαν | ὤφειλες: ita BCDE | πεισϑῆναι .. E ποιῆσαι τὸ ϑέλημα | σταυρῶσαι cum CD .. ABE καὶ στ. | δικ. ὄντα (haec AC; BDE om) καὶ τοι. ση. ἀγ. (haec ita BC; E om ἀγ.; similiter reliqui) ποιήσ. | ὡς (ita ACD, E καϑώς, B ἃ) σ. εἶπας (E ἐσήμανας ἡμῖν) | ἐκ γὰρ τῶν -- ὁ βα. τ. Ἰουδ. cum B .. ACD μέλλοντος αὐτοῦ σταυροῦσϑαι· οὗτος γάρ ἐστιν ὁ Χρ. ὁ β. τ. Ἰ. .. E καὶ μέλλοντος αὐτοῦ σταυροῦσϑαι ἔγραψας ἐν τίτλῳ καὶ προσήλωσας ἐν τῷ ξύλῳ τοῦ σταυροῦ ὅτι οὗτός ἐστιν Ἰησοῦς ὁ Χρ. ὁ βα. τ. Ἰ., atque addit πάντως βουλόμενος κακὰ ἐπάξαι κατὰ τοῦ κράτους μου τοῦτο ἐποίησας.

4. Καὶ τ. εἰπόντ. (ita CD, E εἰπών; AB λέγοντ.) τ. Κ. (E om) κ. ὀνομάσαντ. (E -σας) αὐτ. (BE om) τὸ ὄν. τ. Χρ. (haec AE; B τὸ ὄν. αὐτοῦ τοῦ Ἰησοῦ, BD τὸν Χριστόν) | τῶν ϑεῶν cum AE .. BCD τῶν εἰδώλων ἤτοι (B om) τ. ϑεῶν | συνέπεσαν (-σον CD) κ. ἐγένοντο cum BCD .. AE συνέπεσε κ. ἐγένετο | ἔνϑα -- μετὰ (A add πάσης) τ. συγκλ. cum ACD .. E om .. B καὶ ὁ τόπος δὲ συνέπεσεν ἔνϑα ἐκ. ὁ Κ. μ. πάσης τ. συγκλ. αὐτοῦ | B om τῷ Καίσ. | πάντες ἔντρ. (A σύντρ.) cum ACD .. B καὶ πάντες οἱ τῆς συγκλήτου αὐτοῦ ἅμα τῷ Καί-

ἔντρομοι γεγόνασιν διὰ τὴν τοῦ ῥήματος ῥῆσιν καὶ πτῶσιν τῶν θεῶν αὐτῶν, καὶ πάντες φόβῳ συσχεθέντες ἀπῆλθον ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ, θαυμάζοντες τὸ γεγονός. ἐκέλευσεν δὲ ὁ Καῖσαρ μετὰ ἀσφαλείας φυλάττεσθαι τὸν Πιλᾶτον, ὅπως γνῷ τὸ ἀληθὲς περὶ τοῦ Ἰησοῦ.

5 Τῇ δὲ ἐπαύριον καθίσας ὁ Καῖσαρ ἐν τῷ καπετωλίῳ μετὰ πάσης τῆς συγκλήτου ἐπειρᾶτο πάλιν ἐρωτᾶν τὸν Πιλᾶτον. καί φησιν ὁ Καῖσαρ Λέγε τὸ ἀληθές, δυσσεβέστατε, ὅτι διὰ τῆς σῆς ἀσεβοῦς πράξεως ἧς ἐπεχείρησας κατὰ τοῦ Ἰησοῦ καὶ ἐνταῦθα ἐδείχθη τῶν κακῶν σου ἔργων ἡ πρᾶξις, τὸ τοὺς θεοὺς πτώσει ὑποβληθῆναι. λέγε οὖν Τίς ἐστιν ἐκεῖνος ὁ σταυρωθείς, ὅτι τὸ ὄνομα αὐτοῦ καὶ τοὺς θεοὺς πάντας ἀπώλεσεν; Πιλᾶτος ἔφη Καὶ μὴν τὰ ὑπομνήματα αὐτοῦ ἀληθῆ εἰσίν· καὶ γὰρ ἐγὼ αὐτὸς ἐπείσθην ἐκ τῶν ἔργων αὐτοῦ ὅτι μείζων ὑπῆρχεν πάντων ὧν σεβόμεθα θεῶν. καὶ ὁ Καῖσαρ ἔφη Τίνος οὖν ἕνεκεν τοιαύτην τόλμην καὶ πρᾶξιν ἐπήνεγκας κατ' αὐτοῦ, μὴ ἀγνοῶν τοῦτον, ἢ πάντως κακόν τι βουλόμενος περὶ τῆς ἐμῆς βασιλείας; ὁ

---

σαρι ἔντρομοι | γεγόνασιν -- τὸ γεγονός cum ACD .. B γενόμενοι διὰ τὴν γενομένην πτῶσιν τῶν ϑεῶν, ἀπῆλϑεν ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ. E vero omissis ὁ δὲ δῆμος usque τῶν ϑε. αὐτῶν sic: καὶ φόβῳ πολλῷ συσχεϑέντες ἀνεχώρησαν ἅπαντες ἕκαστος εἰς τὸν οἶκ. αὐτοῦ | ἐκέλ. δὲ (ita CD; B ἐκ. οὖν, A καὶ ἐκ.) -- με. ἀσφ. φυλάττεσϑαι (ita CD, A -ττειν; B pro his ἀσφαλισϑῆναι) -- περὶ τ. Ἰησοῦ .. E om

5. Τῇ δὲ (B om; E Καὶ πάλιν τῇ) ἐπαύρ. | καϑίσ. (B καϑεσϑεὶς) -- ἐν τῷ (A εἰς τὸ et -λιον) καπετωλίῳ (-πε- BCD; A -πι-; omnes vero -τολ-) -- ἐρωτᾶν (ita BCD; A ἐπερ.) -- κ. φησ. ὁ Καῖσαρ cum ABCD .. E προκαϑίσας ἐπείραζεν ἐπερωτῶν τ. Πιλᾶτον | Λέγε -- δυσσεβέστ. (B δυσσεβῆ) -- ἧς (ita AB; CD ἥνπερ) -- ἐδείχϑη (B ἠλέγχϑη) -- ἔργ. ἡ πρᾶξις (B πράξεων τὰ ἔργα) τὸ (ita AE, CD om) -- πτώσει ὑποβληϑ. (B πτώσιν ὑποβάλλειν) .. E om | λέγε οὖν -- ἐκεῖνος (B οὗτος) -- καὶ (A om) τ. ϑε. πάντ. (B om) ἀπώλεσεν cum ABCD .. E λέγε ὦ κατάρατε καὶ δυσσεβέστατε, τίς ἦν ὁ ἄνϑρωπ. ἐκεῖν. ὁ σταυρ., ὅτι τὸ ὄν. αὐτ. λεχϑὲν ἐνταῦϑα τοῖς ϑεοῖς πτῶσιν ἐπέβαλεν | Πιλ. (ita CD; ABE ὁ Πι.) ἔφη (BE εἶπεν) | Καὶ μὴν -- καὶ γὰρ (B add καὶ) ἐγ. αὐτ. (B α. ἐ.) ἐπείσϑην (C ἐπειράσϑην, B ἐπίσταμαι) ἐκ τ. ἔργ. αὐτοῦ (AB ἐξ αὐτῶν τῶν [A om] ἔργ.) ὅτι cum ABCD .. E Τὰ ὑπομνήματα αὐτοῦ, δέσποτα αὐτοκράτωρ, ἅτινα ἀπέστειλα τῇ ὑμετέρᾳ ϑειότητι, ἀληϑῆ τυγχάνουσιν· καὶ γὰρ ἐγὼ ἐπείσϑην ὅτι | ὑπῆρχεν (ita AC, E ὑπάρχει, BD ἐστι) πάντ. (ita AB; CDE om) ὧν (E add ἡμεῖς) σεβ. ϑε. | Τίν. οὖν (B Καὶ τίνος) ἕνεκεν (E -κα) τοι. τόλμην (ita ACD; BE om τόλμ. καί) κ. πρᾶξ. (E τιμωρίαν) ἐπήνεγκ. (ita A, CD ὑπήν., B ἐξήν., E ἐπήγαγ.) κατ' αὐτ. (E αὐτῷ) -- τοῦτον (ita CD, B τοῦτο, E αὐτοῦ τὴν δύναμιν; A ἐκ τούτων pergens πάντων τὶ κακόν) ἢ (Thil. ed. ἤ, E om)

δὲ Πιλᾶτος ἔφη Διὰ τὴν παρανομίαν καὶ στάσιν τῶν ἀνόμων καὶ ἀθέων Ἰουδαίων τοῦτο ἐποίησα.

6 Θυμοῦ δὲ πλησθεὶς ὁ Καῖσαρ συμβούλιον ἐποίησεν μετὰ πάσης τῆς συγκλήτου καὶ τῆς δυνάμεως αὐτοῦ, καὶ κελεύει δόγμα γραφῆναι κατὰ τῶν Ἰουδαίων οὕτως· Λικιανῷ τῷ τὰ πρῶτα τῆς ἀνατολικῆς ἐπέχοντι χώρας χαίρειν. Τὴν ἐν τοῖς παροῦσι καιροῖς γενομένην τόλμαν παρὰ τῶν τὴν Ἱερουσαλὴμ οἰκούντων καὶ τὰς πέριξ πόλεις Ἰουδαίων παράνομόν τε πρᾶξιν ἔγνων, ὡς θεόν τινα λεγόμενον Ἰησοῦν Πιλᾶτον κατηνάγκασαν σταυρῶσαι, διὰ τοῦ τοιούτου αὐτῶν πλημμελήματος δι' οὗ ὁ κόσμος σκοτισθεὶς εἰς ἀπώλειαν εἵλκετο. θέλησον οὖν σπουδαίως ἅμα πλήθους στρατιωτῶν παραγενέσθαι τοῖς ἐκεῖσε καὶ αἰχμαλωσίαν ἐκθέσθαι διὰ τούτου τοῦ δόγματος. πειθαρχῶν κινῆσαι κατ' αὐτῶν καὶ ἐν διασποραῖς αὐτοὺς θέμενος ἐν πᾶσιν τοῖς ἔθνεσιν καταδούλωσον αὐτούς, καὶ τῆς Ἰουδαίας ἁπάσης ἐκδιώξας ὀλιγοστὸν τὸ ἔθνος αὐτῶν δεῖξον, ἐφ' ἅπασιν μὴ ὀφθῆναι ἔτι τοῦτο, πονηρίας μεστοὶ τυγχάνοντες.

---

πάντως etc (E πάντ. βουλόμενος κακὰ κατὰ τοῦ ἡμετέρου κράτους) | E om ἀνόμ. καί, B om ἀνόμ. κ. ἀϑέων

6. B Θυμ. οὖν πάλιν πλ. ὁ Καῖσ. συμβούλ. τε ποιήσας μετὰ -- κελεύει | E συμβ. ποιησάμενος μ. τῆς συγκλ. ἐκέλευσε τὸ δόγμα γρ. | κα. τῶν (CD add ἀϑέων) Ἰουδ. (D om) οὕτ. (B περιέχον οὕτ.) | Λικιανῷ (-νῷ sic CD) .. E Λικιννίῳ, pergens τὴν ἀνατολὴν ἐπέχοντι ἐπαρχίαν | Τὴν -- γενομένην (A γενναμ.) τόλμαν (ita h. l. ACD) -- οἰκούντ. (A διοικ.) Ἰ. κ. τ. πέ. πόλ. (A om haec) παρ. τε. (A om) -- λεγόμενον (A add τὸν) -- Πιλᾶτον (ita C, D -τῳ, A μετὰ Πιλάτου) κατηνάγκασαν (AC -νέγκασαν) σταυρ. cum ACD .. B corrupte Κατὰ τὴν ἄϑεον τῆς παρὰ τῶν Ἰουδ. συνγεναμένης τόλμης τῶν τὴν Ἱερουσαλὴμ κ. τὰς πέριξ πόλ. οἰκούντ. Ἰουδ. παρανόμων ϑεόν τινα λέγοντος Ἰησοῦ καταναγκάσαντες σταυρῶσαι .. E Ἐν τῷ παρόντι καιρῷ τόλμῃ χρησάμενοι οἱ κατοικοῦντες ἐν Ἱεροσολύμοις καὶ τὰς πέριξ χώρας παράνομοι Ἰουδαῖοι τὸν ϑεὸν τὸν λεγόμενον Ἰησοῦν μετὰ Πιλάτου κατηνάγκασαν σταυρωϑῆναι | διὰ τοῦ (ita CD, A om) τοι. αὐτῶν (A om) πλ. δι' οὗ (codd. δι' ὧν) -- εἵλκετο cum ACD .. B ὡς διὰ τῶν τοιούτων πλημμελημάτων τέλεον (sic) ὁ κόσμ. σκοτισϑεὶς εἰς ἀπ. εἵλκετο .. E καὶ διὰ τὸ τοιοῦτον πλημμέλημα τελείως ὁ κόσμ. ἐσκοτίσϑη καὶ παρ' ὀλίγον εἰς ἀπ. εἵλκετο | ἅμα πλήϑους (C -ϑει) .. E ἅμ. πλείστων | καὶ αἰχμ. ἐκϑέσϑ. (A corrupte οὖν ϑῆσον) ἐκϑέσϑ. δ. τ. τ. δόγμ. cum CD, item A .. B κ. αἰχμαλωτῆσαι διὰ τ. τ. δόγμ. πάντας αὐτούς, item E κ. αἰχμαλωτεῦσαι αὐτοὺς αἰχμαλωσίαν μεγάλην | πειϑαρχ. κινῆσαι (A -νησον) καὶ ἐν -- ἁπάσης (A om καὶ ἐν usq. ἁπάσης) ἐκδιώξας (A καὶ ἐκδίωξον αὐτοὺς καὶ) δεῖξον (A -ξαι) -- ἔτι (codd. ἐπί) τοῦτο -- τυγχάνοντες cum C (post ὀφϑῆναι deficit) D, A .. B πειϑαρχῶν οὖν τῷ δόγματι ἡμῶν κίνησον κατ' αὐτοῦ (corrige -τῶν) καὶ διὰ πειρὰς

7 Καὶ τοῦ δόγματος τούτου φθάσαντος ἐν τῇ ἀνατολικῇ χώρᾳ, Λικιανὸς πειθαρχήσας τῷ φόβῳ τοῦ δόγματος ἐν ἀναλώσει πᾶν τὸ ἔθνος τῶν Ἰουδαίων ἐποίησεν, τοὺς δὲ καταλειφθέντας ἐν τῇ Ἰουδαίᾳ εἰς τὴν διασπορὰν τῶν ἐθνῶν δουλεύειν παρέσχεν, ὥστε γνωσθῆναι τῷ Καίσαρι ταῦτα τὰ γεγενημένα παρὰ Λικιανοῦ κατὰ τῶν Ἰουδαίων ἐν τῇ ἀνατολικῇ χώρᾳ καὶ ἀρέσαι αὐτῷ.

8 Καὶ πάλιν ἔθετο ὁ Καῖσαρ ἐρώτησιν ποιῆσαι τοῦ Πιλάτου, καὶ κελεύει ἑνὶ ἄρχοντι ὀνόματι Ἀλβίῳ τὴν κεφαλὴν Πιλάτου ἀποτεμεῖν, φήσας Καθὼς οὗτος χεῖρας ἐπήγαγεν ἐπὶ τὸν ἄνδρα τὸν δίκαιον τὸν λεγόμενον Χριστόν, καὶ αὐτὸς ὁμοίως πεσεῖται τῆς σωτηρίας ἀποτευξόμενος.

9 Ὁ δὲ Πιλᾶτος ἀπελθὼν ἐπὶ τὸν τόπον ηὔξατο σιωπῇ λέγων Κύριε, μὴ συναπολέσῃς με μετὰ τῶν πονηρῶν Ἑβραίων, ὅτι ἐγὼ χεῖρας κατὰ σοῦ οὐκ εἶχον ἐπενεγκεῖν εἰ μὴ διὰ τὸ ἔθνος τῶν παρανόμων Ἰουδαίων, ὅτι στάσιν κατ' ἐμοῦ ἐπήγαγον· ἀλλὰ σὺ γινώσκεις ὅτι ἀγνοῶν ἔπραξα. μὴ οὖν ἀπολέσῃς με τῇ ἁμαρ-

---

(sic) αὐτοὺς θέμενος διασκόρπισον αὐτοὺς ἐν πᾶσ. τ. ἔθν. καταδουλῶν αὐτοὺς καὶ τῆς Ἰουδαίας πάντας ἐκδιώξας ὀλιγοστὸν τὸ ἔθν. αὐτ. δείξας, ἐφ' ἅπ. μὴ ὀφθ. ἐν ἀνέσει, ἐπειδὴ τοις πονοις με (corrige τῆς πονηρίας μεστοὶ) τυγχάνουσιν .. E corruptissime διὰ τὸ μὴ πειθαρχήν σε (corrige πειθαρχῆσαι) τῷ ἡμετέρῳ δόγματι καὶ ποιῆσαι (ποίησον omisso καὶ?) αὐτοὺς εἰς διασποράν, ἐν (corrige μὴ) ὀφθείησαν ἐν ταῖς πόλεσιν αὐτῶν, ὅτι πονηρίας πλήρεις τυγχάνουσιν.

7. E Λικίννιος | ἐν ἀναλώσει (pro his B inepte εἶπεν) πᾶν -- ἐποίησ. cum D (item ut videtur B) .. A ἀνάλωσιν παντὸς ἔθνους τ. Ἰ. ἐποίησ. .. E ἐξεδίωξε πάντας τ. Ἰουδαίους | τοὺς δὲ καταλ. ἐν τῇ Ἰουδ. (ita AD; B om) -- παρέσχ. (ita AD, B παρεσκεύασεν) .. E καὶ ἠχμαλώτευσεν αὐτοὺς ἐν διασπορᾷ πᾶσι τοῖς ἔθνεσιν, καὶ παρασκεύασε τούτους δουλεύειν. Praeterea BD add ἕως (B add τὴν) σήμερον ἡμέρας (B -ραν) | D ταῦτ. τ. γινόμενα | ἐν τῇ ἀν. χ. καὶ ἀρ. αὐτῷ cum AD .. B om | E pro ὥστε etc sic: ὅπως γνωσθῶσιν καὶ τῷ Καίσαρι τὰ περὶ αὐτῶν

8. Καὶ πάλιν (B Πάλ. οὖν) -- ποιῆσαι (B ποιήσασθαι) -- ἄρχοντι (B πρόφεκτον, corrige πρεφέκτῳ) -- Πιλάτου (B τοῦ Πι.) ἀποτεμ. (B ἀποκόπτειν) .. E Καὶ ἐκέλευσεν ὁ Καῖσαρ πρεφεκτιάλδε (sic, vide post) ὀνόματι τὴν κεφ. ἀποκόψαι Πιλάτου | ἐπὶ τὸν -- Χριστόν .. B κατὰ τοῦ θεοῦ, E κατὰ τοῦ Ἰησοῦ | πεσεῖται (A πέσηται, D ποιήσεται, B τεύξεται, E τεύξεται τοῦ θανάτου) τῆς σωτ. ἀποτευξ. (D ἀποταξάμ., E om τ. σ. ἀ.)

9. Ὁ δὲ Πιλᾶτος etc: D hunc libelli finem habet: Δῶμεν δόξαν τῷ θεῷ ἡμῶν, ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. | μὴ συναπολέσῃς (B -σεις) cum BE .. A μὴ ἀπολέσεις | οὐκ εἶχον cum BE .. A οὐκ ἤθελον | A ἐπενέγκαι | E εἰ μὴ διὰ τὸ πονηρὸν ἔθν. κ. ἀστασίαστον τῶν Ἰουδ. τοῦτο ἐποίησα | B ἀλλ' ἴδας δέσπ. κύριε | μὴ οὖν (ita B; A μὴ συν- E ἀλλὰ μὴ σύν-) ἀπολέσῃς (-AB -σεις) με (A add δέσποτα κύριε) | τῇ ἁμ.

τίᾳ μου ταύτῃ. ἀλλὰ ἀμνησικάκησον ἐπ' ἐμοί, κύριε, καὶ τῇ δούλῃ σου Πρόκλᾳ τῇ ἱσταμένῃ μετ' ἐμοῦ ἐν τῇ ὥρᾳ ταύτῃ τοῦ θανάτου μου, ἣν ἀνέδειξας προφητεύειν ὅτι εἶχες σταυρῷ προσηλωθῆναι. μὴ ἐν τῇ ἐμῇ ἁμαρτίᾳ καὶ ταύτην καταδικάσῃς, ἀλλὰ συγχώρησον ἡμῖν καὶ ἐν μερίδι τῶν δικαίων σου συγκαταρίθμησον ἡμᾶς.

10 Καὶ ἰδοὺ τελέσαντος τὴν εὐχὴν τοῦ Πιλάτου ἦλθεν φωνὴ ἐκ τοῦ οὐρανοῦ λέγουσα Μακαριοῦσίν σε πᾶσαι αἱ γενεαὶ καὶ αἱ πατριαὶ τῶν ἐθνῶν, ὅτι ἐπὶ σοῦ ἐπληρώθησαν ταῦτα πάντα τὰ ὑπὸ τῶν προφητῶν εἰρημένα περὶ ἐμοῦ· καὶ σὺ δὲ αὐτὸς μάρτυς μου ἐν τῇ δευτέρᾳ μου παρουσίᾳ ὀφθῆναι ἔχεις, ὅταν μέλλω κρῖναι τὰς δώδεκα φυλὰς τοῦ Ἰσραὴλ καὶ τοὺς μὴ ὁμολογήσαντας τῷ ὀνόματί μου. Καὶ ἐξετίναξεν τὴν κεφαλὴν Πιλάτου ὁ πρέφεκτος, καὶ ἰδοὺ ἄγγελος κυρίου ἐδέξατο αὐτήν. ἰδοῦσα δὲ ἡ γυνὴ αὐτοῦ Πρόκλα τὸν ἄγγελον ἐρχόμενον καὶ δεχόμενον τὴν κεφαλὴν αὐτοῦ, χαρᾶς πλησθεῖσα καὶ αὐτὴ παραυτὰ ἀπέδωκεν τὸ πνεῦμα, καὶ ἐτάφη μετὰ τοῦ ἀνδρὸς αὐτῆς.

---

μου ταύτῃ . . A τὴν ἴαν μ. -την, B ταύτῃ τῇ ἁμ., E ταῖς ἁμαρτίαις μου καὶ τῇ ἀγνοίᾳ μου ταύτῃ | ἀλλὰ ἀμνησικάκησον (ita E, item corrupte A) ἐπ' ἐμοὶ κύρ. καὶ τῇ etc . . B ἀλλὰ ἐλέησόν με καὶ τὴν δούλην σ. Πρόκλαν | E ἐν τ. ὥρ. τῆς τελευτῆς μου | ἣν ἀνέδειξ. (ita B; A ἥνπερ ἔδ., E ἣν ἔδ.) προφητεύειν (ita BE; A -τεῦσαι) | E om ὅτι εἶχ. στ. πρ. | E μὴ ἐν τῇ ἁμ. ἡμῶν κύριε καταδικ. ἡμᾶς | συγχ. ἡμῖν (B μοι; E add τὰ παραπτώματα ἡμῶν) κ. ἐν μερ. τ. δ. σου (E μετὰ τῶν ἁγίων σου) συγκαταρ. (ita B, AE συναριθ.) ἡμ.

10. A τελειώσαντος | E ἐκ τῶν οὐρανῶν | Μακ. σε (A add Πιλᾶτε) π. αἱ γεν. καὶ αἱ πατρ. (ita haec E; B π. αἱ γεν., A π. αἱ πατριαὶ [Bch -αρχαι] τ. ἐθν. (B om) | ἐπὶ σοῦ cum A . . B ὑπὸ σοῦ | ταῦτα -- εἰρημένα cum A . . B πάντ. [τὰ adde] ὑπομνήματα τῶν πρ. τὰ εἰρ. | E om ὅτι usq. περὶ (A παρ') ἐμοῦ | καὶ -- αὐτὸς (BE om) μάρτυς μου (B μαρτυρεῖς μου, E μ. μ. ἔσῃ, A μάρτ. ἔσῃ) ἐν τῇ (ita B, E ἐπὶ τῆς etc, A ἐν γὰρ τῇ) -- ὀφθ. ἔχ. (haec om E) | B ὅτε μέλλω | τὰς δώδ. -- ὁμολογ. τῷ ὀν. μ. (ita B, A καὶ πιστεύσαντας omissis τ. ὀ. μ.) . . E ζῶντας κ. νεκρούς, καὶ τὰς δώδ. φύλ. τὰς μὴ ὁμολογησάσας μηδὲ πιστευσάσας εἰς τὸ ὄν. μ. | Καὶ ἐξετίναξ. (E Ἦρε δὲ) τ. κ. Πιλ. (E αὐτοῦ) ὁ (A om) πρέφεκτος (E περφεκτιάλδεος sic, vide ante) cum AE . . B τότε οὖν ὁ Πιλ. ἐκτείνας τὸν τράχηλον αὐτοῦ, ἀπέτεμεν τὴν κεφ. αὐτοῦ ὁ πρέφεκτος (sic) | καὶ ἰδοὺ -- ἐδ. αὐτήν cum AE . . B om | B θεωροῦσα δέ | τὸν ἄγγ. ἐρχ. -- τ. κε. αὐτοῦ (E om ἐρχ. usq. αὐτοῦ) cum AE . . B om | τὸ πνεῦμα . . A add αὐτῆς | μετὰ τ. ἀνδρ. αὐτῆς: his libellus finitur in BE . . A add Πιλάτου, θελήσει καὶ εὐδοκίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

# ΥΦΗΓΗΣΙΣ ΙΩΣΗΦ.

## ΥΦΗΓΗΣΙΣ ΙΩΣΗΦ ΤΟΥ ΑΠΟ ΑΡΙΜΑΘΑΙΑΣ ΤΟΥ ΑΙΤΗΣΑΜΕΝΟΥ ΤΟ ΣΩΜΑ ΚΥΡΙΟΥ· ΕΝ Ω ΚΑΙ ΤΑΣ ΤΩΝ ΔΥΟ ΛΗΣΤΩΝ ΑΙΤΙΑΣ ΕΜΦΕΡΕΙ.

### I.

1 Ἐγὼ Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας ὁ αἰτησάμενος παρὰ Πιλάτου τὸ σῶμα τοῦ κυρίου Ἰησοῦ πρὸς ταφὴν καὶ ἐν δεσμῷ πιεζόμενος παρὰ τῶν φονέων καὶ θεομάχων Ἰουδαίων διὰ τὴν τοιαύτην αἰτίαν, οἵτινες καὶ τὸν νόμον κατέχοντες αὐτῷ τῷ Μωυσῇ πρόξενοι γεγόνασιν θλίψεως, τὸν δὲ νομοθέτην παροργίσαντες καὶ μὴ ἐπεγνωκότες τὸν θεὸν ἐσταύρωσαν καὶ εὔδηλον ἔθεντο τοῖς ἐγνωκόσι τὸν θεόν. Ἐν ἐκείναις ταῖς ἡμέραις ἐν αἷς κατέκριναν τὸν υἱὸν τοῦ θεοῦ σταυρωθῆναι, πρὸ ἑπτὰ ἡμερῶν τοῦ παθεῖν τὸν Χριστόν, τῷ ἡγεμόνι Πιλάτῳ παρεπέμφθησαν δύο λῃσταὶ ἀπὸ Ἱεριχὼ κατακριθέντες, ὧν ἡ αἰτία ἦν αὕτη.

---

* Ὑφήγησις (ita AD; C apud Birchium Ηη διηγησις) Ἰωσ. (D τοῦ Ἰω.) -- τοῦ (C om) κυρίου (A add ἡμῶν Ἰησοῦ Χριστοῦ; C add παραδώσεως?) -- ἐμφέρει (C ἐνφέρειν) .. B non habet inscriptionem.

I, 1. Ἀριμαθαίας cum AD .. BC -θείας | B om παρ. Πιλ. | τοῦ (C om) κυρ. (B om) Ἰησοῦ (D om) πρ. ταφ. (B om πρ. τ.) | καὶ (C om) ἐν δ. πιεζόμ. (ita A, C πιαζ.; B ἐταζόμ., D ἐπιζόμ.) -- θεομάχ. (B θεοκτόνων, C add ἀνθρώπων) Ἰουδ. δ. τ. τοιαύτ. (B αὐτοῦ) αἰτ. | B πρόξ. ἐγένοντο | θλίψεως (C add αἰωνίου) τὸν δὲ (ita AD, C om δέ. B corrupte sic: θλίψ. αἰνεῖς τὸν τούτων) νομοθ. | B παροργ. μὴ ἐγνωκότες ὅτι θεὸν ἐσταύρωσαν, ἔκδηλον ἐθέμη (corrige ἔθεντο) τοῖς ἐγνωκόσιν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ θεόν | ἐν ἐκ. (B add γὰρ) ταῖς -- κατέκριναν τ. υἱ. (B κατεκρίθη ὁ υἱ.) -- Πιλάτῳ (B Ποντίῳ Πιλ.) -- ἦν αὕτη.

[2] Ὁ πρῶτος, ὄνομα αὐτῷ Γέστας, ὁδοιποροῦντας ἐν φόνῳ μαχαίρας ἀπέκτεινεν, ἄλλους δὲ γυμνώσει ὑπέβαλεν, γυναῖκας δὲ ἐκ τῶν σφυρῶν κατὰ κεφαλῆς κρεμνῶν τοὺς μασθοὺς ἐξέκοπτεν, νηπίων μελῶν αἱμοπότης ὑπῆρχεν, θεὸν μὴ ἐγνωκὼς πώποτε, νόμοις μὴ ἀκολουθῶν, βίαιος τυγχάνων ἐξ ἀρχῆς εἰς τὰς τοιαύτας πράξεις.

Ἡ δὲ τοῦ ἑτέρου αἰτία τοιαύτη ἦν. Δημᾶς ἐκαλεῖτο, Γαλιλαῖος μὲν ἦν τῷ γένει, πανδοχεῖον δὲ εἶχεν· πλουσίων πειρατηρίοις ἐκέχρητο, πτωχοῖς δὲ εὖ ἐποίει· κλέπτης μὲν ὡς Τωβίτ, νεκροὺς γὰρ πτωχοὺς ἔθαπτεν. ληστεύειν ἐπεχείρει τὸ τῶν Ἰουδαίων πλῆθος, αὐτὸν τὸν νόμον ἐν Ἱερουσαλὴμ συλήσας καὶ τὴν τοῦ Καϊάφα θυγατέρα γυμνώσας, ἱεράτιδα ὑπάρχουσαν τοῦ ἁγιάσματος, αὐτὴν τὴν τοῦ Σολομῶντος παρατεθεῖσαν μυστικὴν παρακαταθήκην τῷ τόπῳ ἀφελόμενος. τοιαῦται ὑπῆρχον αὐτοῦ αἱ πράξεις.

[3] Συνελήφθη δὲ καὶ ὁ Ἰησοῦς πρὸ τῆς ἡμέρας τοῦ πάσχα τρίτης, ὀψίας οὔσης. οὐκ ἦν δὲ τῷ Καϊάφᾳ καὶ τῷ πλήθει τῶν Ἰουδαίων πάσχα, ἀλλὰ πένθος ἦν αὐτοῖς μέγα, ὡς διὰ τὴν τοῦ λῃστοῦ σύλησιν γεναμένην ἐν τῷ ἁγιάσματι· καὶ καλέσαντες Ἰούδαν τὸν Ἰσκαριώτην λέγουσιν αὐτῷ· ἀπὸ ἀδελφοῦ γὰρ Καϊάφα τοῦ ἱερέως ἦν. οὐκ ἦν δὲ μαθητὴς κατὰ πρόσωπον τοῦ Ἰησοῦ, ἀλλὰ δόλῳ προετρέψαντο αὐτὸν πᾶν τὸ πλῆθος τῶν Ἰουδαίων ἵνα ἀκολουθήσει τῷ Ἰησοῦ· οὐχ ἵνα πειθαρχήσει τοῖς παρ'

---

2. C ὀνόματι Γέστας (B Γεύστας) | AC ἀπέκτενεν | AC ἐν γυμνώσει ὑπέβ. | μασθούς: ita A, B μαζούς, C μαστούς | θε. μὴ ἐγν. πώποτε (C ποτέ) .. A om | B εἰς τ. τοι. κακὰς καὶ αἰσχρὰς πράξ.

C Αἱ δ. τ. ἑ. λῃστοῦ αἰτίαι τοιαῦταί εἰσιν | Δημᾶς cum BC .. A Δύμας | πλουσίων -- εὖ ἐποίει: haec varie in codd. corrupta leguntur | κλ. μὲν (B add ἦν) ὡς Τωβ. (B ὁ Τωβίας) | B πτωχ. δὲ νεκρ. ἔθαπτ. | τὸ τ. Ἰουδ. πλῆθ. cum AC .. B τοὺς τ. Ἰ. ἱερεῖς | B ἱερατικὴν ὑπάρχ. | B παραθήκην | ἀφελόμενος cum A .. BC ἀφηλάμενος (sic) | αὐτοῦ .. B λῃστῶν

3. δὲ καί .. B οὖν | B πρὸ ἓξ ἡμερῶν τ. πάσχα, τρίτης ὀψ. οὔσ. | B om ὡς | B τ. λῃστ. ἔφοδον τὴν γενομένην ἐν τῷ πράγματι | Ἰούδαν (B τὸν Ἰ.) τὸν Ἰσκ. cum AB .. C οἱ Ἰουδαῖοι τὸν Σκαριώτην | λέγουσιν αὐτῷ· ἀπὸ (cod. praem εὐγενὲς γένος, quod ex margine irrepsisse videtur) ἀδ. γὰρ -- ἦν cum A, item C λέγ. αὐτῷ· εὐγενὴς γένος ὤν· ἀπὸ ἀδελφοῦ Καϊαφ. τ. ἱ. ἦν. B καὶ λέγουσιν αὐτὸν ἐκ γένους ὄντα ἀδελφῆς τοῦ Καϊάφα ἱερέως | κατὰ πρόσωπ. cum AC .. B κατὰ τρόπον | C προετρέψατο | B om τῶν Ἰουδ. | ἵνα ἀκολουθήσει

αὐτοῦ γενομένοις σημείοις οὐδὲ ἵνα ὁμολογήσει αὐτόν. ἀλλ' ἵνα παραδώσει αὐτὸν αὐτοῖς, ψευδές ῥῆμα αὐτοῦ θέλων καταλαβέσθαι, δόματα δεδωκότες αὐτῷ ὑπὲρ τοῦ τοιούτου ἀνδραγαθήματος ἀνὰ δίδραγμον χρυσίου καθ' ἑκάστην ἡμέραν. ἦν δὲ καὶ δύο ἔτη ποιήσας μετὰ τοῦ Ἰησοῦ, ὥς φησιν εἷς τῶν μαθητῶν καλούμενος Ἰωάννης.

4 Καὶ τῇ τρίτῃ ἡμέρᾳ πρὸ τοῦ κρατηθῆναι τὸν Ἰησοῦν λέγει τοῖς Ἰουδαίοις ὁ Ἰούδας Δεῦτε συμβούλιον θώμεθα, ὅτι περ οὐκ ἐσύλησεν ὁ λῃστὴς τὸν νόμον ἀλλ' αὐτὸς ὁ Ἰησοῦς, κἀγὼ ἐλέγχω αὐτόν. τῶν δὲ τοιούτων ῥημάτων ῥηθέντων εἰσίει μεθ' ἡμῶν Νικόδημος ὁ κατέχων τὰς κλεῖς τοῦ ἁγιάσματος, καὶ ἔφη πᾶσιν Μὴ τοιοῦτον πρᾶγμα διαπράξασθε. ἦν γὰρ ἀληθὴς ὁ Νικόδημος ὑπὲρ πᾶν τὸ πλῆθος τῶν Ἰουδαίων. ἡ δὲ τοῦ Καϊάφα θυγάτηρ ὀνόματι Σάρρα κραυγάσασα ἔφη Αὐτὸς γὰρ ἔφη ἐπὶ πάντων κατὰ τοῦ ἁγίου τόπου τούτου Δύναμαι καταλῦσαι τὸν ναὸν τοῦτον καὶ ἐν τρισὶν ἡμέραις ἐγεῖραι αὐτόν. λέγουσιν οἱ Ἰουδαῖοι αὐτῇ Πίστιν ἔχεις παρὰ πάντας ἡμᾶς· εἶχον γὰρ αὐτὴν ὡς προφήτην. καὶ δὴ τοῦ συμβουλίου γενομένου ἐκρατήθη ὁ Ἰησοῦς.

---

cum B .. AC ἀκολουθῇ (A -θεῖ) | B ἢ ὁμολογήσει αὐτ. θεόν | ψευδές -- καταλαβ. cum B .. AC om | δίδραγμον: ita ABC | ἦν δὲ καὶ δύο (C om; A praem δέκαι, quod videtur ex repetito δὲ καί ortum esse; sed vide B, unde δέκα δύο legere possis) -- μ. τ. Ἰησοῦ .. B ἦν γὰρ δωδέκατος ποιήσ. μετὰ (haec pessime sic scripta sunt: πᾶσιν μὲν τὰς) τ. Ἰ.

4. Καὶ τρίτῃ ἡμέρᾳ (C -της -ρας) πρό cum AC .. B καὶ καιρὸν εὑρὼν τῇ τρ. ἡμ. πρό | B συνβουλευσώμεθα | B οὐκ ἔκλεψεν τὸ ἁγίασμα | εἰσίει cum A, item C .. B ἦν | B ὁ κατέχ. τὸν νόμον καὶ τὰς κλεῖς (C κλεῖδας) | Μὴ τοι. πρ. (B add τι) διαπρ. cum AB .. C Μὴ τοιούτων πραγμάτων πραξώμεθα | ἦν γὰρ ἀληθής (C -θινός) -- τῶν Ἰουδ. cum AC .. B εἰς ἐκεῖνον τὸν ἄνθρωπον· οὐδὲν γὰρ τοιοῦτον ἐποίησεν. καὶ οὐδεὶς αὐτὸν ἤκουσεν· οὐδὲ γὰρ ἦν εὐπρόσδεκτος ὁ Νικ. ὑπὲρ πᾶν τ. πλ. τ. Ἰουδ. | ἡ δὲ τοῦ (ita AB: C ἦν δὲ τῷ) Κα. -- Σάρρα (B Σέρα) κραυγάσασα (C καὶ κραυγάσας, B κλαύσασα) (A h. l. add ἐπὶ πάντων, quod cum BC ad ἔφη seq. transferendum videbatur) ἔφη | Αὐτὸς γὰρ (C ὅτι περ) ἔφη (C add ὁ Ἰησοῦς) ἐπὶ πάντ. (C ἐ. πᾶσι; de A vide ante) κατά cum AC .. B Ἤκουσα ἐγὼ ὅτι πᾶσιν ἔλεγεν κατά | B λέγων ὅτι δύναμαι καταλ. αὐτόν. καὶ εἶπαν οἱ Ἰουδ. | αὐτῇ Πίστ. -- ἡμᾶς cum C .. B Ταύτην πίστιν ἔχει ὑπὲρ πάντας ἡμᾶς .. A Αὕτη πιστοτέρα ἐστὶν πάντων ἡμῶν | προφήτην: ita ABC | καὶ δὴ τοῦ (C καὶ διὰ τοῦτο) συμβ. γεν. (C γιν.) cum AC .. B καὶ δὴ τοῦ λόγου στοιχήσαντος συνβουλίου γενομένου

II.

[1] Τῇ δὲ ἐπαύριον, ἡμέρᾳ τῆς τετράδος, εἰσήνεγκαν αὐτὸν ὥρᾳ ἐνάτῃ εἰς τὴν αὐλὴν τοῦ Καϊάφα. καὶ λέγουσιν αὐτῷ Ἄννας καὶ Καϊάφας Εἰπὲ ἡμῖν, τίνος ἕνεκεν τὸν νόμον ἡμῶν ἐσύλησας, καὶ Μωσέως καὶ τῶν προφητῶν τὰς ἐπαγγελίας ἀπεκήρυξας; ὁ δὲ Ἰησοῦς οὐδὲν ἀπεκρίνατο. πάλιν δὲ ἐκ δευτέρου παρόντος καὶ τοῦ πλήθους λέγουσιν αὐτῷ Τὸ ἁγίασμα ὃ ἔκτισε Σολομὼν ἐν τεσσαράκοντα καὶ ἓξ ἔτεσιν, διὰ τί σὺ βούλῃ ἐν μιᾷ ῥοπῇ καταλῦσαι; καὶ οὐδὲν ἀπεκρίνατο πρὸς ταῦτα ὁ Ἰησοῦς. ἦν γὰρ τῆς συναγωγῆς τὸ ἁγίασμα σεσυλημένον διὰ τοῦ λῃστοῦ.

[2] Ὀψίας δὲ τελεσθείσης τῆς τετράδος ἅπαν τὸ πλῆθος ἐζήτει τὴν θυγατέρα τοῦ Καϊάφα πυρὶ ἐναλῶσαι διὰ τὴν τοῦ νόμου ἀπώλειαν, ὅτι οὐκ εἶχον τὸ πῶς τὸ πάσχα ποιῆσαι. καὶ εἶπεν αὐτοῖς ἐκείνη Ἐπιμείνατε τέκνα καὶ τὸν Ἰησοῦν τοῦτον ἀπολέσωμεν, καὶ ὁ νόμος εὑρίσκεται καὶ ἡ ἑορτὴ ἡ ἁγία ἐπιτελουμένη ἐπιτελεῖται. λαθραίως δὲ ἔδωκαν Ἄννας καὶ Καϊάφας χρυσίον ἱκανὸν Ἰούδᾳ τῷ Ἰσκαριώτῃ, λέγοντες Εἰπέ, καθὼς προεῖπες ἡμῖν, ὅτι ἐγὼ οἶδα τὸν νόμον κλαπέντα παρὰ τοῦ Ἰησοῦ, ὅπως εἰς αὐτὸν τὸ ἔγκλημα τραπῇ καὶ μὴ εἰς τὴν κόρην ταύτην τὴν ἄμεμπτον. καὶ ταῦτα συνταξάμενος ὁ Ἰούδας εἶπεν αὐτοῖς Μὴ πᾶν τὸ πλῆθος γνῷ ὅτι ἐγὼ ὑφ' ὑμῶν ἐπεδιδάχθην τοῦτο κατὰ τοῦ Ἰησοῦ πρᾶξαι· ἀλλὰ ἀπολύσατε τὸν Ἰησοῦν, κἀγὼ πείθω

---

II, 1. A ὥραν ἐννάτην | A καὶ προφητῶν καὶ Μωσέως (B Μωυσ.) | ἀπεκήρυξας (an potius scribas ἀπέκρυψας?) cum AC .. B ἠκύρωσες | πάλ. δὲ (C om, B utrumque om) ἐκ δευτ. (B add οὖν) παρ. καὶ (AC om) τ. πλ. λέγ. (B εἶπαν) αὐτ. | τὸ ἁγ. ὅ cum AC .. B τὸν ναὸν ὅν | B ἐν ῥοπῇ καιροῦ | ἦν γὰρ (C add πρὸ) τῆς συν. τὸ ἁγ. σεσ. διὰ τ. λῃστ. (C om δ. τ. λ.) cum AC .. B ἐν ἀληθείᾳ γὰρ ἦν ἡ συναγωγὴ καὶ τὸ ἁγ. ἐσυλομένον (sic vitiose) δ. τ. λ., τὸν νόμον μὴ ἔχουσα

2. B Ὀψ. δὲ γενομένης τῆς -- ἐζήτουν τ. θυγατέραν -- ἀναλ. αὐτὴν -- εἶχαν τὸ πάσχ. πῶς ποι. | τὸ πῶς .. A om τό | κ. εἶπ. αὐτ. ἐκείνη cum AC .. B ὁ δὲ Καϊάφας ἔφη πρὸς τὸν λαόν | B Μείνατε τέκνα καὶ συνδράμετε ἡμῖν ὅπως ἀπολέσωμεν τ. Ἰησ. | καὶ ἡ ἑορτ. -- ἐπιτελουμένη (C om) ἐπιτ. cum AC .. B καὶ ἑορτὴν τελείαν ἐπιτελοῦμεν | καθ. πρ. ἡμῖν cum B .. AC om | τραπῇ cum B .. AC ᾖ | ταύτην (AC om) τ. ἄμεμπτ. (C ἀμώμητον) | συνταξάμ. cum AC .. B καταδεξάμενος | B Φοβοῦμαι μὴ πᾶν | γνῷ .. C add τοῦτο | BC ἐδιδάχθην | B πρᾶξαι, καὶ ἀπιστήσωσιν· ἀλλὰ τοῦτο ποιήσαντες ἀπολύσατε τὸν Ἰησ. etc

τὸ πλῆθος ὅτι ταῦτα οὕτως ἔχει. καὶ δόλῳ ἀπέλυσαν τὸν Ἰησοῦν.

[3] Ὁ δὲ Ἰούδας εἰσελθὼν εἰς τὸ ἁγίασμα διαφαυούσης ἡμέρας πέμπτης λέγει πρὸς πάντα τὸν λαόν Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω τὸν καθαιρέτην τοῦ νόμου καὶ τῶν προφητῶν συλήτην; λέγουσιν αὐτῷ οἱ Ἰουδαῖοι Ἐὰν παραδώσῃς ἡμῖν αὐτόν, δώσωμέν σοι τριάκοντα ἀργύρια χρυσίου. οὐκ ᾔδει δὲ ὁ λαὸς ὅτι περὶ τοῦ Ἰησοῦ λέγει ὁ Ἰούδας· ὁμολόγουν γὰρ αὐτὸν ἱκανοὶ εἶναι υἱὸν θεοῦ. καὶ ἔλαβεν ὁ Ἰούδας τὰ τριάκοντα ἀργύρια χρυσίου.

[4] Καὶ ἐξελθὼν τῇ ὥρᾳ τῇ τετάρτῃ καὶ τῇ πέμπτῃ εὑρίσκει τὸν Ἰησοῦν περιπατοῦντα ἐν τῇ πλατείᾳ. μελλούσης δὲ ὀψίας γενέσθαι λέγει τοῖς Ἰουδαίοις ὁ Ἰούδας Βοήθειαν στρατιωτῶν δότε μοι μετὰ μαχαιρῶν καὶ ξύλων, κἀγὼ παραδώσω ὑμῖν αὐτόν. ἔδωκαν οὖν αὐτῷ ὑπηρέτας ἐπὶ τὸ πιάσαι αὐτόν. πορευομένων δὲ αὐτῶν λέγει αὐτοῖς ὁ Ἰούδας Ὃν ἂν ἐγὼ φιλήσω, κρατήσατε αὐτόν· αὐτὸς γὰρ τὸν νόμον καὶ τοὺς προφήτας ἐσύλησεν. προσελθὼν οὖν τῷ Ἰησοῦ κατεφίλησεν αὐτὸν λέγων Χαῖρε ῥαββί, ὀψίας οὔσης τῆς πέμπτης. καὶ κρατήσαντες παρέδωκαν αὐτὸν πρὸς Καϊάφαν καὶ τοὺς ἀρχιερεῖς, λέγοντος τοῦ Ἰούδα ὅτι οὗτός ἐστιν ὁ τὸν νόμον συλήσας καὶ τοὺς προφήτας. ἄδικον δὲ ἐξέτασιν ἐδίδουν οἱ Ἰουδαῖοι τῷ Ἰησοῦ λέγοντες Διὰ τί ταῦτα ἐποίησας; καὶ οὐδὲν ἀπεκρίνατο.

---

3. Ὁ δὲ etc .. C corrupte | διαφ. (C διαφαουσ.) ἡμέρ. (C τῆς) πέμπτ. cum AC .. B τῇ ἡμέρᾳ τῇ πέμπτῃ | Ἐὰν παραδώσῃς (C -σεις) ἡμ. αὐτόν .. B om | δώσωμεν cum B .. A διδῶμεν, C διδοῦμεν | ἀργ. χρυσ. cum AC .. B χρυσίνα (sic) | ὁμολόγουν γὰρ (C ὁμολογοῦντας?): ita ABC | ἱκανοί .. B οἱ πλείονες | B τὰ τριάκ. χρυσίνα

4. Καὶ ἐξελθὼν (C -θόντες) -- τῇ τεταρτ. καὶ (haec B om) -- εὑρίσκει (C εὗρον) | στρατιωτῶν .. B λῃστρικήν | C καὶ ἐγώ | ἐπὶ τὸ πιάσαι cum BC .. A ἐπὶ τῷ πιάσαι | B καὶ τ. προφήτας κ. τὸν νόμ. ἐσύλευσεν | τῆς πέμπτης cum BC .. A τῇ πέμπτῃ | καὶ κρατήσαντες -- τοὺς ἀρχιερεῖς (C τοῖς -ρεῦσι) -- κ. τ. προφήτας cum AC .. B καὶ παρέδωκεν αὐτὸν τοῖς Ἰουδαίοις. οἱ δὲ λαβόντες αὐτὸν ἀπήγαγον πρὸς Καϊάφαν κ. τ. ἀρχ., λέγοντες ὅτι οὗτός ἐστιν ὁ τὸν -- προφήτας | ἄδικον δὲ ἐξέτ. ἐδίδουν cum AB .. C ἀδικιῶν. ἐξέτ. δὲ ἐδίδουσαν (sic) | ἐποίησας cum B .. AC ποιεῖς (A ταῦτα πάντα ποι. ὧδε) | καὶ οὐδέν ... B ὁ δὲ Ἰησοῦς οὐδέ·

Ὁ δὲ Νικόδημος κἀγὼ Ἰωσὴφ ἰδόντες τὴν κάθεδραν τῶν λοιμῶν ἀπέστημεν ἀπ' αὐτῶν, μὴ θελήσαντες τῇ βουλῇ τῶν ἀσεβῶν συναπολέσθαι.

## III.

1 Πολλὰ μὲν οὖν καὶ ἄλλα δεινὰ διαπραξάμενοι κατὰ τοῦ Ἰησοῦ τῇ νυκτὶ ἐκείνῃ, παρέδωκαν αὐτὸν Πιλάτῳ τῷ ἡγεμόνι διαφαυούσης τῆς παρασκευῆς ἐπὶ τὸ σταυρῶσαι αὐτόν, καὶ ἐπὶ τοῦτο συνῆλθον πάντες. ἐξετάσεως οὖν γενομένης ἐκέλευσεν αὐτὸν Πιλᾶτος ὁ ἡγεμὼν μετὰ δύο λῃστῶν τῷ σταυρῷ προσηλωθῆναι. προσηλώθησαν δὲ αὐτῷ ἅμα τῷ Ἰησοῦ ἐξ ἀριστερῶν μὲν ὁ Γέστας, ἐκ δεξιῶν δὲ ὁ Δημᾶς.

2 Καὶ ἤρξατο βοᾶν ὁ ἐξ εὐωνύμων λέγων τῷ Ἰησοῦ Ἴδε πόσα κακὰ ἔδρασα ἐν τῇ γῇ· καὶ εἰ ἔγνων ὅτι σὺ εἶ ὁ βασιλεύς, καὶ σὲ εἶχον ἀναλῶσαι. τί δὲ λέγεις ἑαυτὸν υἱὸν θεοῦ, καὶ βοηθῆσαι ἑαυτῷ ἐν ἀνάγκῃ οὐ δύνασαι; ἢ πῶς ἄλλῳ εὐχομένῳ σὺ δύνασαι βοήθειαν παρασχεῖν; εἰ σὺ εἶ ὁ Χριστός, κάτελθε ἀπὸ τοῦ σταυροῦ, ἵνα σοι πιστεύσω· νῦν δὲ οὐχ ὡς ἄνθρωπόν σε ὁρῶ ἀλλ' ὡς θῆρα ἄγριον συναπολλύμενόν μοι. καὶ πολλὰ ἕτερα ἤρξατο λέγειν κατὰ τοῦ Ἰησοῦ, βλασφημῶν καὶ τρίζων τοὺς ὀδόντας αὐτοῦ ἐπ' αὐτόν· ἐν γὰρ τῇ παγίδι τοῦ διαβόλου ἐζωγρημένος ἦν ὁ λῃστής.

---

Ὁ δὲ Νικόδ. κἀγὼ (C καὶ ὁ) Ἰωσήφ cum AC . . B Ἐγὼ δὲ Ἰωσ. καὶ Νικόδ.

III, 1. διαπραξ. cum A . . C διαταξάμ., B πράξαντες. B sic: Πολλὰ οὖν δυνατὰ πράξαντες κατὰ τοῦ Ἰησ. τῇ ν. ἐκ. καὶ πολλὰ κριτήρια ἀδικίας, παρέδωκαν etc | BC διαφαούσης | ἐπὶ τὸ (A τῷ; C add καί, B κολάσαι καὶ) π. αὐτόν | B om καὶ ἐπὶ τ. σ. πάντ. | ἐξετάσ. οὖν (B τοίνυν ψευδοῦς) γενομένης (B γεναμ.) -- λῃστῶν (B add τῶν καταδίκων) τῷ στ. προσηλ. (AC om τ. στ., B σταυρωθῆναι) | προσηλώθησαν δὲ αὐτῷ (ita de coniectura scripsimus: AC προσηλωθέντων δὲ [A om] αὐτῶν, B κρεμασθέντων δὲ αὐτῶν) ἅμα τῷ Ἰησ. (haec ex B sunt; C ἅμα ἐπὶ τῷ σταυρῷ; A om. Praeterea vero B add ἐν τῷ σταυρῷ) -- Δημᾶς (ita C; AB Δύμας)

2. ἐξ εὐων. (C ἀριστερῶν) . . B add Γέστας | Ἴδε πόσα . . B Πολλά | ἔδρασα cum A . . BC -σας | καὶ εἰ ἔγνων -- ἀναλῶσαι cum A, item corrupte C . . B καὶ σὺ εἶπες ὅτι βασιλεὺς εἶ τῶν Ἰουδ., καὶ σὲ ἀναλῶσαι εἶχον | τί δὲ λέγεις ἑαυτ. cum A . . C ὅτι λέγει ἑαυτ., B λέγεις δὲ σεαυτ. | καὶ βοηθῆσαι ἑαυτῷ etc cum A . . BC plura corrupte exhibent | ἐπ' αὐτόν (C -τῷ) . . B κατὰ τοῦ Ἰησοῦ | ἐζωγρημ. cum AB . . C ἐξορισμένος

3 Ὁ δὲ ἐκ δεξιῶν λῃστής, ᾧ ὄνομα Δημᾶς, ἰδὼν τὴν θεϊκὴν χάριν τοῦ Ἰησοῦ οὕτως ἐβόα· Οἶδά σε, Ἰησοῦ Χριστέ, ὅτι υἱὸς τοῦ θεοῦ εἶ· Χριστόν σε ὁρῶ ὑπὸ μυρίων μυριάδων ἀγγέλων προσκυνούμενον. συγχώρησόν μοι τὰς ἁμαρτίας μου ἃς ἔπραξα· μὴ ἐν ἐξετάσει μου ποιήσεις τὰ ἄστρα ἐλθεῖν κατ' ἐμοῦ ἢ τὴν σελήνην, ὅταν μέλλῃς κρῖναι πᾶσαν τὴν οἰκουμένην, ὅτι ἐν νυκτὶ ἔπραττον τὰς κακάς μου βουλάς· μὴ κινήσεις τὸν ἥλιον τὸν νῦν σκοτιζόμενον διὰ σὲ εἰπεῖν τὰ κακὰ τῆς καρδίας μου· οὐδὲν γὰρ ἀφέσεως ἁμαρτιῶν δῶρον δύναμαί σοι παρασχεῖν. ἤδη ὁ θάνατος φθάνει με τῶν ἁμαρτιῶν μου· σοῦ δέ ἐστιν ὁ ἐξιλασμός· ῥῦσαί με, δέσποτα τῶν ἁπάντων, τῆς φοβερᾶς σου κρίσεως· μὴ δῷς ἐξουσίαν τῷ ἐχθρῷ καταπιεῖν με καὶ κληρονόμον γενέσθαι τῆς ψυχῆς μου ὡς τοῦ ἐξ εὐωνύμων κρεμαμένου· θεωρῶ γὰρ πῶς ὁ διάβολος χαίρων τὴν ψυχὴν αὐτοῦ λαμβάνει, αἱ δὲ σάρκες αὐτοῦ ἀφανεῖς γίνονται. μὴ καὶ εἰς τὴν μερίδα τῶν Ἰουδαίων προστάξεις με ἀπελθεῖν· βλέπω γὰρ Μωυσῆν καὶ τοὺς πατριάρχας ἐν κλαυθμῷ μεγάλῳ ὑπάρχοντας καὶ τὸν διάβολον ἐπιχαιρόμενον ἐπ' αὐτῶν. πρὸ τοῦ οὖν, δέσποτα, τὸ πνεῦμά μου ἐξελθεῖν κέλευσον ἐξαλειφθῆναί μου τὰς ἁμαρτίας, καὶ μνήσθητί μου τοῦ ἁμαρτωλοῦ ἐν τῇ βασιλείᾳ σου, ὅτε ἐπὶ τοῦ θρόνου τοῦ μεγάλου τοῦ

---

3. Ὁ δὲ -- λῃστ. ᾧ ὄν. (B om λ. ᾧ ὄν.) cum AB .. C Ὁ λῃστ. ὁ ὀνομασθεὶς | Δημᾶς cum C .. AB Δύμας | Οἶδα σε Ἰη. Χρ. (C μου pro Χρ.) -- εἶ cum AC .. B οἶδας κύριε Ἰη. Χρ. ὅτι υἱόν σε εἶναι θεοῦ πιστεύω | μυρ. μυριάδ. ἀγγ. cum C .. A om μυριάδ., B om ἀγγ. | ἐξετάσει cum B .. AC ἐκστάσει | ποιήσεις: ita ABC | C om κατ' ἐμοῦ | ὅταν μέλλῃς (C -λλεις) κρ. π. τ. οἰκ. cum AC .. B ὅτι μέλλεις κρίνειν πᾶσ. τ. κτίσιν | ὅτι ἐ. ν. ἔπραττον (B διεπραττόμην ἀεὶ) cum AB .. C ὅταν ἐ. ν. ἔπραξα | μὴ κινήσεις (C νικήσῃ) τὸν ἥλ. τόν cum B(C) .. A μὴ κινήσῃ ὁ ἥλιος τόν | κακά .. B κρύφια | παρασχεῖν cum AC .. B προσενεγκεῖν | ἤδη (A εἰ δὲ) ὁ θάν. φθ. με (C μοι) τῶν (C καὶ τῶν) ἁμ. μου· σοῦ δέ ἐστ. (C σὺ ἔστιν sic) ὁ ἐξιλ. cum A(C) .. B ἰδοὺ γὰρ ὁ θάν. φθ. με, καὶ τῶν ἁμ. μου οὐδεὶς ἐστιν ἐξιλαστής | ῥῦσαί με, δέσπ. τ. ἁπ. (C om δ. τ. ἁ.) -- κρίσεως cum AC .. B ὃς ῥύσεταί με δέσπ. τ. ἁπ., τῆς φοβ. σ. κρίσεως | καταπιεῖν (C -ποιεῖν) .. B καταπατεῖν | καὶ κληρ. (B add με; C κληρονόμος) γενέσθαι (B -έσθω) τῆς ψ. μου (B om τ. ψ. μ.) | θεωρῶ, λαμβάνει, γίνονται cum A .. BC ἴδον, εἴληφεν, ἐγένοντο | μὴ καὶ .. BC om καί | B μερίδαν | προστάξεις με .. B με τάξεις | ἐπιχαιρόμενον cum AB .. C ἐπεχειρόμενον (sic) | ἐπ' αὐτῶν cum A .. B κατ' αὐτόν, C κατ' αὐτοῦ | τὸ πνεῦμ. μ. cum AB .. C τὸ κρίμα σου | B ἐν θρόνῳ τῷ ὑψίστῳ καθήμενος |

ὑψίστου μέλλεις κρῖναι τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ· πολλὴν γὰρ κόλασιν ἡτοίμασας τῷ κόσμῳ σου δι᾿ ἑαυτόν.

4 Καὶ ταῦτα εἰπόντος τοῦ λῃστοῦ λέγει αὐτῷ ὁ Ἰησοῦς Ἀμὴν ἀμὴν λέγω σοι, Δημᾶ, ὅτι σήμερον μετ᾿ ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. οἱ δὲ υἱοὶ τῆς βασιλείας, οἱ παῖδες Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ Μωσέως, ἐκβληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. σὺ δὲ μόνος οἰκήσεις ἐν τῷ παραδείσῳ ἕως τῆς δευτέρας μου παρουσίας, ὅτε μέλλω κρίνειν τοὺς μὴ ὁμολογήσαντας τῷ ὀνόματί μου. εἶπεν δὲ τῷ λῃστῇ Ἀπελθὼν εἰπὲ τοῖς Χερουβὶμ καὶ ταῖς δυνάμεσιν, τοῖς τὴν φλογίνην ῥομφαίαν στρέφουσιν, τοῖς φυλάττουσιν τὸν παράδεισον ἐξ οὗ ὁ Ἀδὰμ ὁ πρωτόπλαστος ἐν παραδείσῳ ἐγένετο καὶ παρέβη καὶ τὰς ἐντολάς μου οὐκ ἐφύλαξεν καὶ ἐξέβαλον αὐτὸν ἐκεῖθεν· οὐδεὶς δὲ τῶν πρώτων ὄψεται τὸν παράδεισον ἕως μέλλω ἐκ δευτέρου ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκρούς — γράψας οὕτως Ἰησοῦς Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ ὁ κατελθὼν ἐκ τῶν ὑψωμάτων τῶν οὐρανῶν, ὁ ἐξελθὼν ἐκ τοῦ κόλπου τοῦ ἀοράτου πατρὸς ἀχωρίστως καὶ κατελθὼν εἰς τὸν κόσμον διὰ τὸ σαρκωθῆναι καὶ σταυρῷ προσηλωθῆναι, ἵνα σώσω τὸν Ἀδὰμ ὅν περ ἔπλασα, ταῖς ἀρχαγγελικαῖς μου δυνάμεσιν, τοῖς τοῦ παραδείσου πυλωροῖς, τοῖς τοῦ πατρός μου ὑπηρέταις. Θέλω καὶ κελεύω εἰσελθεῖν τὸν συνσταυρούμενόν μοι, ἄφεσιν ἁμαρτιῶν λαβεῖν δι᾿ ἐμέ, καὶ ἄφθαρτον σῶμα ἠμφιεσμένον εἰσελθεῖν ἐν τῷ παραδείσῳ καὶ οἰκῆσαι αὐτὸν ἔνθα οὐδεὶς πώποτε δύναται οἰκῆσαι.

---

πολλὴν γὰρ -- διὰ ἑαυτόν (A -τοῦ) cum AC .. B om

4. Δημᾶ cum C .. AB Δύμα | B om ὅτι | C om τῷ | B οἱ δὲ υἱοὶ τῆς ἀπωλείας, omissis οἱ παῖδες usque Μωσέως | A ἐμβληθήσονται | ὅτε μέλλω -- τῷ ὀνόμ. μου (B μου τὸ ὄνομα) cum AB .. C ὅταν μέλλω κρῖναι τοὺς παροργίσαντάς με | B om εἶπεν δὲ τῷ λῃστῇ usque dum sequitur Καὶ ἰδοὺ τούτων ῥηθέντων. | τοῖς (A ταῖς, C καὶ τοῖς) -- στρέφουσιν (C ἀναστρέφ.) -- ἐξ οὗ (C ὧν) -- ἐν παραδείσῳ (C ἐν παραβάσει) ἐγ. καὶ παρ. καὶ (C ὅτι pro κ. π. κ.) -- ἐκ δευτέρου (C -ρας) | C ἐκ τ. ὑψωμ. τ. ἐπουρανίων | τοῦ ἀορ. πα. ἀχωρίστ. cum A .. C τοῦ ἀορ. μου πατρ., omisso ἀχωρ. | C male om διὰ τὸ σαρκωθ. | A ὃν ἔπλασα | ταῖς ἀρχαγγ. etc: C male praem ἐν | τ. συνσταυρούμενον (C -ρώμενον) μοι (C τῇ ἐμῇ θεότητι) | δι᾿ ἐμέ cum C .. A δι᾿ ἐμοῦ | C οὐδ. δύναταί ποτε

Καὶ ἰδοὺ τούτων ῥηθέντων παρέδωκεν τὸ πνεῦμα ὁ Ἰησοῦς, τῇ ἡμέρᾳ τῆς παρασκευῆς ὥρᾳ ἐνάτῃ. καὶ σκότος δὲ ἦν ἐπὶ πᾶσαν τὴν γῆν, καὶ σεισμοῦ μεγάλου γενηθέντος τὸ ἁγίασμα συνέπεσεν καὶ τὸ πτερύγιον τοῦ ἱεροῦ.

## IV.

1 Ἠτησάμην δὲ ἐγὼ Ἰωσὴφ τὸ σῶμα τοῦ Ἰησοῦ καὶ ἔθηκα αὐτὸ ἐν μνήματι καινῷ ὅπου οὐδεὶς ἦν τεθειμένος. τοῦ δὲ λῃστοῦ τοῦ ἐκ δεξιῶν οὐχ εὑρέθη τὸ σῶμα· τοῦ δὲ ἐξ εὐωνύμων ὥσπερ δράκοντος ἰδέα, οὕτως ἦν τὸ σῶμα αὐτοῦ.

Ἐπειδὴ δὲ ᾐτησάμην τὸ σῶμα τοῦ Ἰησοῦ πρὸς τὸ ἐνταφιάσαι, ζήλῳ θυμοῦ φερόμενοι οἱ Ἰουδαῖοι ἐνέκλεισάν με εἰς φυλακήν, ὅπου βία ἦν τοῖς κακῶς διαπράττουσιν. ἦν δὲ τοῦτό μοι γενόμενον ὀψίας οὔσης σαββάτῳ, ᾧ παρανομοῦν ἦν τὸ ἔθνος ἡμῶν. καὶ ἰδοὺ αὐτὸ τὸ ἔθνος ἡμῶν τῷ σαββάτῳ δεινὰς θλίψεις ὑπέμεινεν.

2 Καὶ δὴ ὀψίας γενομένης τῆς μιᾶς τῶν σαββάτων, ὥρᾳ ε̄ τῆς νυκτός, ἔρχεται πρὸς μὲ ὁ Ἰησοῦς ἐν τῇ φυλακῇ μετὰ τοῦ λῃστοῦ τοῦ συνσταυρωθέντος αὐτῷ ἐκ δεξιῶν, ὃν ἀπέστειλεν αὐτὸς ἐν τῷ παραδείσῳ. καὶ φῶς ἱκανὸν ἦν ἐν τῷ οἰκήματι· καὶ ἐκρεμάσθη ὁ οἶκος ἐκ τεσσάρων γωνιῶν, καὶ ἐλύθη ὁ τόπος, κἀγὼ ἐξῆλθον. ἐγνώρισα οὖν τὸν Ἰησοῦν πρῶτον, καὶ πάλιν τὸν λῃστὴν γράμματα κομίζοντα πρὸς τὸν Ἰησοῦν. καὶ ὁδευόντων

---

Καὶ ἰδοὺ τ. ῥηθέντ. cum AC .. B Καὶ ταῦτα αὐτοῦ λέγοντος | ὥρᾳ ἐνάτῃ (C θ̄) cum AC .. B ὥρ. ἕκτῃ | καὶ (A om) σκ. δὲ (B om) ἦν (A om, B ἐγένετο) ἐπὶ π. τ. γ. (B ἐπὶ πάσῃ τῇ κτίσει) καὶ (B post γενηθέντος pon)

IV, 1. B ἔθηκα αὐτὸν ἐν μνημείῳ | τεθειμένος cum A .. C τεθαμμένος, B κείμενος | A οὐχ εὑρ. τὸ σῶμ. αὐτοῦ, omissis τοῦ δὲ ἐξ εὐων. (C τοῦ δὲ ἑτέρου) ὥσπ. δράκοντος (C -κων) ἰδ. -- τὸ σῶμ. αὐτοῦ.

Ἐπειδὴ δὲ ᾐτ. cum B .. AC Ὅτε οὖν (A om) ᾐτ. | τὸ σ. τοῦ Ἰ. cum AB .. C τὸν Ἰησοῦν | B ζήλῳ καὶ θυμῷ .. A ζήλῳ δὲ θυμοῦ (coniungit ὅτε ᾐτησ. cum praegressis) | σαββάτῳ cum AB (B τῷ σαββ.) .. C σαββάτων | ᾧ .. AC ὅ, B ὅπερ | παρανομοῦν .. A -μῶν, BC -μον | αὐτὸ (A add τε) τὸ ἔθν. ἡμ. τῷ σαββ. (B τὸ σάββατον) δ. θλ. ὑπέμεινεν (B ἰδων [ἴδεν?]) cum AB .. C τὸ σάββατον ἡμῶν πολλὰς θλ. ὑπέμενεν

2. B γεναμένης | BC τῇ μιᾷ τῶν σαββ. (B τοῦ -του) | B ὥρα ἦν πέμπτη τῆς νυκτ. | ἐν τῇ φυλακῇ cum B, item τῇ νυκτί A .. C om | B αὐτ. ἐν τὸν παράδεισον | ἦν cum AC .. B ἔλαμψεν | C ἐν τῷ οἴκῳ | A καὶ ἐγώ | καὶ πάλιν etc cum A, item omissis γρ. κομ. πρ. τ. Ἰ. B .. C om

ἡμῶν ἐν τῇ Γαλιλαίᾳ φῶς μέγα ἔλαμψεν ὅπερ οὐκ ἔφερεν ἡ κτίσις· ἦν δὲ καὶ εὐωδία μεγάλη τοῦ ληστοῦ ἡ ἐκ τοῦ παραδείσου.

[3] Καθεσθέντος δὲ τοῦ Ἰησοῦ ἐν τόπῳ τινὶ ἀνέγνω οὕτως Τὰ Χερουβὶμ καὶ τὰ ἑξαπτέρυγα κελευθέντα ἀπὸ τῆς σῆς θεότητος φυλάττειν τὸν τοῦ παραδείσου κῆπον διὰ τοῦ συνσταυρωθέντος τῇ σῇ οἰκονομίᾳ ληστοῦ τοῦτο δηλοῦμεν. Τὸν τύπον ἰδόντες τῶν ἥλων τοῦ συνσταυρωθέντος σοι ληστοῦ καὶ τῶν γραμμάτων τὸ φέγγος τῆς σῆς θεότητος, τὸ πῦρ ἐσβέσθη μέν, μὴ δυνάμενον φέρειν τὴν φαῦσιν τοῦ τύπου, καὶ ἡμεῖς ἐν φόβῳ μεγάλῳ γενόμενοι ἐπτήξαμεν· ἠκούσαμεν γὰρ τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς καὶ πάσης κτίσεως ἀπὸ ὕψους ἐνδημήσαντα εἰς τὰ κατώτερα μέρη τῆς γῆς διὰ τὸν πρωτόπλαστον Ἀδάμ. τὸν σταυρὸν γὰρ θεασάμενοι τὸν ἄχραντον διὰ τοῦ ληστοῦ ἀστράπτοντα, ἑπταπλάσιον τὸ φέγγος τοῦ ἡλίου ἀποστίλβοντος, τρόμος ἐγένετο ἐφ᾽ ἡμᾶς, καταχθονίων βρασμὸν ἐσχηκότας, καὶ φωνῇ μεγάλῃ οἱ λειτουργοὶ τοῦ ᾅδου ἅμα ἡμῖν λέγοντες Ἅγιος ἅγιος ἅγιος ὁ ἐν ἀρχῇ ὢν ἐν τοῖς ὑψίστοις. καὶ αἱ δυνάμεις βοὴν ἀνέπεμπον Κύριε, ἐφανερώθης ἐν οὐρανῷ καὶ ἐπὶ γῆς χαρὰν παρέχων τῷ κόσμῳ καί, μεῖζον τοιούτου δώρου, τῇ ἀοράτῳ βουλῇ τῶν αἰώνων τὸ ἴδιον πλάσμα θανάτου ῥυσάμενος.

## V.

[1] Ταῦτα ἐγὼ θεασάμενος πορευόμενος εἰς τὴν Γαλιλαίαν

---

ἐν τ. Γαλιλαίᾳ .. B add τῇ νυκτὶ ἐκείνῃ | C εὐωδία μεγίστη | ἡ ἐκ τ. παρ. cum B .. A διὰ τὸν παράδεισον, C διὰ τοῦ ἐκ παραδείσου

3. Hanc totam sectionem omittit B.

Καθεσθέντος .. A καθεστέντος, C κατεθέντος | C om σῆς | τῇ σῇ οἰκ. cum A .. C σοί | τοῦτο δηλοῦμεν etc: haec corruptissime C exhibet. | σοι .. C τῇ σῇ θεότητι πίστει | μὴ δυνάμενον (cod. -ναι) -- γενόμενοι (cod. -ναι) ἐπτήξ. cum A .. B om. Praeterea possunt haec etiam sic scribenda videri: καὶ τῶν γραμμάτων τὸ φέγγος, τῆς σῆς θεότητος τὸ πῦρ, ἐσβέσθημεν μὴ δυνάμενοι etc; sed nostra scriptura praestat. | ἑπταπλάσιον (C -σνα) τὸ φέγγ. (A τοῦ φωτὸς) τοῦ (C om) ἡλίου ἀποστίλβοντος; videntur haec ita legi posse, quamvis coniectura emendare facile sit. | καταχθονίων (C ἐν καταχθονίῳ) βρασμὸν (C -σμοῦ) ἐσχηκότας (A -ότα, C ἰσχηκότος): fortasse minus recte scripsimus. | καὶ αἱ .. A ᾧ αἱ | ἀνέπεμπον cum A .. C ἀναπέμποντες | μεῖζον (C -ζων) τοιούτου (A -τῳ) δώρου (A -ρω): videtur in his vitium latere | τῶν αἰώνων .. C τῶν ὅλων αἰωνίων

V, 1. θεασάμενος .. B add Ἰωσήφ | B πορευομένου μου ἐν τῇ Γαλιλαίᾳ --

μετὰ τοῦ Ἰησοῦ καὶ τοῦ λῃστοῦ, μετεμορφώθη ὁ Ἰησοῦς, καὶ οὐκ ἦν ὡς τὸ πρότερον πρὶν σταυρωθῆναι αὐτόν, ἀλλ' ἦν διὰ παντὸς φῶς· ἀεὶ δὲ ἄγγελοι διηκόνουν αὐτῷ, καὶ συνελάλει μετ' αὐτῶν ὁ Ἰησοῦς. ἐποίησα δὲ μετ' αὐτοῦ ἡμέρας τρεῖς· οὐκ ἦν δὲ οὐδεὶς τῶν μαθητῶν αὐτοῦ μετ' αὐτοῦ εἰ μὴ μόνος ὁ λῃστής.

2 Καὶ τῶν ἀζύμων μεσαζόντων ἔρχεται ὁ μαθητὴς αὐτοῦ Ἰωάννης, καὶ οὐκέτι τὸν λῃστὴν ἐθεασάμεθα τὸ τί ἐγένετο. ἠρώτησεν δὲ ὁ Ἰωάννης τὸν Ἰησοῦν Τίς ἐστιν οὗτος, ὅτι οὐκ ἐποίησάς με ὀφθῆναι αὐτῷ; ὁ δὲ Ἰησοῦς οὐδὲν αὐτῷ ἀπεκρίθη. προσπεσὼν δὲ αὐτῷ εἶπεν Κύριε, οἶδα ὅτι ἐξ ἀρχῆς ἐφίλησάς με, καὶ διὰ τί οὐκ ἀποκαλύπτεις μοι τὸν ἄνθρωπον ἐκεῖνον; λέγει αὐτῷ ὁ Ἰησοῦς Ἀπόκρυφα τί ἐπιζητεῖς; ἀκμὴν ἀσύνετος εἶ; οὐχ ὁρᾷς τὴν εὐωδίαν τοῦ παραδείσου πλήσασαν τὸν τόπον; οὐ γινώσκεις τίς ἦν; ὁ ἐπὶ σταυροῦ λῃστὴς κληρονόμος ἔτυχεν τοῦ παραδείσου· ἀμὴν ἀμὴν λέγω σοι ὅτι αὐτοῦ ἐστὶν μόνου ἕως οὗ φθάσει ἡ μεγάλη ἡμέρα. ὁ δὲ Ἰωάννης εἶπεν Ἄξιόν με ποίησον ὅπως θεάσομαι αὐτόν.

3 Καὶ ἔτι λαλοῦντος τοῦ Ἰωάννου ὤφθη ὁ λῃστὴς ἄφνω· καὶ ἔκθαμβος γενόμενος ὁ Ἰωάννης ἔπεσεν ἐπὶ τὴν γῆν. οὐκ ἦν δὲ τῇ πρώτῃ ἰδέᾳ ὁ λῃστὴς τῇ πρὶν ἐλθεῖν τὸν Ἰωάννην, ἀλλ' ἦν ὥσπερ βασιλεὺς ἐν πολλῇ δυνάμει, τὸν σταυρὸν ἠμφιεσμένος. καὶ φωνὴ πλήθους πολλῶν ἐπέμπετο Ἦλθες εἰς τὸν ἡτοιμασμένον σοι τόπον τοῦ παραδείσου· ἐτάγημεν ὑπηρετεῖν σοι παρὰ τοῦ

---

εἶδον ὅτι μετεμορφ. - - πρινὴ σταυρ. αὐτ. ἀλλὰ - - φῶς· καὶ οὐκέτι νὺξ ἐγένετο, ἀλλὰ ἄγγελοι ἀόρατοι διηκ. αὐτ. | ἀεὶ δὲ ἄγγελοι cum A .. C ἄγγ. δέ | καὶ συνελάλει - - ὁ Ἰησ. cum AB .. C om | ἐποίησα δὲ (B καὶ ἐποί.) - - οὐκ ἦν δέ cum AB .. C καὶ οὐκ ἦν δέ, prioribus male omissis.

2. ἐθεασάμεθα cum AB .. C -σάμην | τὸ (A om) τί ἐγέν. (C γέγονεν) | C ἀπεκρίνατο | ἐφίλησας cum AC .. B φιλεῖς | ἀποκαλύπτεις cum AC .. B ἀπεκάλυψας | B ζητεῖς | πλήσασαν τ. τόπ. cum B .. AC πεπληρωμένην (C κινουμένην) τὴν πνοήν | ὁ ἐπὶ σταυροῦ cum A .. BC ὅτι (C ὅτε) ἐπὶ τοῦ στ. | λῃστής cum A .. BC om | τοῦ παραδείσου .. B add ἐκεῖνός ἐστιν | B ὅτι μόνος ἐστὶν ἐν τῷ παραδείσῳ ἕως φθ. ἡμέρα ἡ μεγ. | θεάσομαι (B -σωμαι) .. C θεασώμεθα

3. Καὶ ἔτι etc .. C Λαλοῦντ. τοῦ Ἰω. ὤφθη ἄφνω | γενόμενος ὁ Ἰω. ἔπεσεν cum CD (B γενόμενος Ἰω. καὶ ἔπεσ.) .. A ἐγένετο ὁ Ἰω. καί | D οὐκ ἦν δὲ ὡς τῇ πρώτῃ ἡμέρᾳ τῇ | ἀλλ' ἦν cum AD .. BC om ἦν | πολλῶν cum AD; B πολλοῦ .. C om | ἐπέμπ. cum ACD .. B ἀνεπέμπ. | Ἦλθες cum ACD .. B Ἐλθέ | B ἐτάγημεν γάρ

ἀποστείλαντός σε ἕως τῆς μεγάλης ἡμέρας. καὶ τῆς φωνῆς ταύτης γενομένης καὶ ὁ λῃστὴς κἀγὼ Ἰωσὴφ ἀφανεῖς ἐγενόμεθα, καὶ εὑρέθην ἐγὼ εἰς τὸν οἶκόν μου· οὐκέτι δὲ ἴδον τὸν Ἰησοῦν.

4 Ταῦτα δὲ ἐγὼ ἑωρακὼς συνεγραψάμην ἵνα πάντες πιστεύσωσιν εἰς τὸν σταυρωθέντα Ἰησοῦν Χριστὸν τὸν κύριον ἡμῶν καὶ μηκέτι λειτουργοῦσιν τῷ νόμῳ Μωσέως, ἀλλὰ πιστεύσωσιν τοῖς δι' αὐτοῦ γενομένοις σημείοις τε καὶ τέρασιν, καὶ ἵνα πιστεύσαντες ζωὴν αἰώνιον κληρονομήσωμεν καὶ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν εὑρεθῶμεν· ὅτι αὐτῷ πρέπει δόξα κράτος αἶνος καὶ μεγαλοσύνη εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

B μεγάλ. ἡμέρ. καὶ φοβερᾶς | γενομένης (C γιν.) .. B γεναμ. | καὶ (ita CD, AB om) ὁ λῃστ. κἀγὼ Ἰωσὴφ (B om Ἰωσ., C καὶ Ἰωσής)

4. ἐγώ cum CD .. AB om | B ἔγραψα | πάντες cum B .. ACD om | κύριον .. B θεόν | λειτουργοῦσιν cum ACD .. B λειτουργεῖν (scriptum est -ργῆν). idem post habet ἀλλὰ πιστεύειν. | BC τὸν νόμον | C γινομένοις | πιστεύσαντες (C add αὐτῷ, D αὐτόν) ζω. αἰ. κλ. καὶ (CD om ζω. αἰ. κλ. κ.) εἰς -- εὑρεθῶμεν cum A, item CD .. B πιστεύοντες εἰς τὴν ἐπαγγελίαν τοῦ παραδείσου εὑρεθ. | ὅτι αὐτῷ πρ. δόξ. (A add καὶ) κρ. αἶν. (C τιμὴ) κ. μεγαλοσύνη (ita AD; C προσκύνησις) .. B χάριτι καὶ φιλανθρωπίᾳ τοῦ δεσπότου (cod. add καὶ) πάντων ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν· αὐτῷ ἡ δόξα | εἰς τ. αἰῶν. τῶν αἰ. (C om τῶν αἰ.) ἀμήν cum BC; item AD sed pruem σὺν (D om) τῷ πατρὶ (D add καὶ τῷ υἱῷ) καὶ τῷ ἁγίῳ πνεύματι (A add νῦν καὶ ἀεὶ καὶ)

